
3 1761 08825187 1



# MENANDRI

QUATUOR FABULARUM

HEROIS DISCEPTANTIUM CIRCUMTONSAE SAMIAE

FRAGMENTA NUPER REPERTA

POST GUSTAVUM LEFEBURIUM

EDIDIT

J. VAN LEEUWEN J.F.
LITT. HUM. DR., IN ACADEMIA LUGDUNO-BATAVA PROF. ORD.



LUGDUNI BATAVORUM
APUD A. W. SIJTHOFF
MCMVIII.

*ἥκει λιπὼν κευθμῶνα καὶ σκότου πύλας.*

Menandri fabularum fragmenta exeunte anno 1905 in Aegypto effossa et postquam huius *ἑρμαίου* fama percrebruit ab omnibus quibus bonae litterae cordi sunt summa cum animi intentione expectata sub finem anni 1907 publici iuris fecit is, cui fortuna concessit ut tam splendidum donum offerret antiquitatis admiratoribus, Gustavus Lefeburius (fragments d'un manuscrit de Ménandre, le Caire, imprimerie de l'institut français d'archéologie orientale). Statim accepto libro feci id quod multi, ut opinor, fecerunt et facient: devoravi, dein relegi iterumque relegi, semper novi aliquid deprehendens. Mox, cum observationum messis satis ampla succrevisset, quas editoris aliorumque philologorum iudicio subicere cupiebam, aptius id fieri non posse visum est quam textu quam poteram emendatissimo in lucem emisso. Breves notas criticas addidi, commentarium posthac, si fors tulerit, subiuncturus.

Notulas meas dum elaborabam, consulere licuit quae scripserunt Crusius (liter. Zentralblatt 30 Nov. 1907), von Wilamowitz—Moellendorff (zum Menander von Kairo, Sitz.ber. d. k. p. Ak. d. Wiss. 5 Dec. 1907, humanissime ab ipso mihi missa), van Herwerden (Berliner philol. Wochenschrift 18 Jan. 1908);

quae postquam sedulo contuli, passim deletis stellulis quibus coniecturas meas indicaveram, adscripsi nomen eius qui prior aut primus — nam saepe accidit ut plures in eandem inciderent emendationem — eas protulisset. Ultimarum autem paginarum plagulas dum corrigo, affertur mihi nova Wilamowitzii commentatio (Neue Jahrb. f. d. kl. Altertum usw., 16 Jan. 1908), ex qua hoc unum nunc videtur commemorandum, eum quoque perspexisse id quod initio paginae 50 exposui.

Quaedam invenisse mihi videor: multa frustra me quaesivisse scio, nec dubito quin nonnulla perperam mutaverim. Utinam emendent alii! Multi etiam inventuri sunt multa: nemo, ut ille ait, solus satis sapit; πλεόνων τοι ϝέργον ἄμεινον!

Scripsi Lugd. Batavorum die XXV m. Ianuarii MCMVIII.

J. VAN LEEUWEN J. f.

# I.

## ΗΡΩΣ ΜΕΝΑΝΔΡΟΥ [1].

---

### ΥΠΟΘΕΣΙΣ [2].

ἄρρεν τε θῆλύ θ' ἅμα τεκοῦσα παρθένος [3])
ἔδωκεν ἐπιτρόπῳ [4]) τρέφειν· εἶθ' ὕστερον
ἔγημε τὸν φθείραντα [5]). ταῦτα δ' ὑπέθετο
ὁ τρέφων πρὸς αὐτὸν ἀγνοῶν. θεράπων δέ τις
ἐνέπεσεν εἰς ἔρωτα τῆς νεάνιδος,
ὁμόδουλον εἶναι διαλαβών. γείτων δέ τις
προηδικήκει μετὰ βίας τὴν μείρακα.
τὴν αἰτίαν ἐφ' ἑαυτὸν ὁ θεράπων στρέφειν
ἐβούλετ'· οὐκ εἰδυῖα δ' ἡ μήτηρ ἄγαν
ἐδυσχέραινε. καταφανῶν δὲ γενομένων,
εὗρεν μὲν ὁ γέρων τοὺς ἑαυτοῦ γνωρίσας,
ὁ δ' ἠδικηκὼς ἔλαβε τὴν κόρην θέλων.

---

Coniecturas meas asterisco indicavi.

[1]) Codex ενανδρου. Suppl. Lef. coll. indice personarum.

[2]) Non legitur in cod.

[3]) Cod. αρρεντεκουσαπαρθενοσθηλυθ'αμα metro invito; corr. vWil., ego tentaveram *ἄρρεν τεκοῦσα θῆλύ θ' ἅμα τις παρθένος.

[4]) ἐπιτρόπῳ vWil.] επιτροφω cod., ἐπὶ τρόφῳ Lef.

[5]) ἔγημε τὸν φθείραντα] vitiose pro ἐγήματο τῷ φθείραντι, ut in fragm. trag. adesp. 194 N. ἐγάμησεν Ἑλένη τὸν θεοῖς στυγούμενον.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

| | |
|---|---|
| Γέτας. | Σωφρόνη. |
| Δᾶος. | Σαγγάριος. |
| Ἥρως θεός. | Γοργίας. |
| Μυρρίνη. | Λάχης. |
| Φειδίας. | |

---

ΓΕΤΑΣ.

κακόν τι, Δᾶε, μοι δοκεῖς πεποηκέναι
παμμέγεθες, εἶτα προσδοκῶν ἀγωνιᾶν
μυλῶνα σαυτῷ καὶ πέδας. εὔδηλος εἶ!
τί γὰρ σὺ κόπτεις τὴν κεφαλὴν οὕτω πυκνά;
τί τὰς τρίχας τίλλεις ἐπιστάς; τί στένεις;

ΔΑΟΣ.

οἴμοι!

ΓΕΤΑΣ.

τοιοῦτόν ἐστιν, ὦ πονηρὲ σύ;
εἶτ' οὐκ ἐχρῆν κερμάτιον, εἰ συνηγμένον
ἔνδον τι κρύπτεις, τοῦτ' ἐμοὶ δοῦναι τέως
ἕως ἂν εὖ θῇς τὰ κατὰ σαυτὸν πράγματα;
καλῶς γὰρ οἶσθας ὡς συνάχθομαί γέ σοι.
νῦν μοι σεαυτὸν δός.

ΔΑΟΣ.

σὺ μὰ Δί' οὐκ οἶδ' ὅ τι
ληρεῖς· βαρυτάτῳ δ' ἐμπέπλεγμαι πράγματι,
ᾧ κατακέκναισμαι καὶ διέφθαρμαι, Γέτα.

ΓΕΤΑΣ.

σὺ δ' οὖν τὸ κατ' ἐμέ —

---

8—16. Desunt in cod. verba: *ἔνδον τι κρύπτεις, *ἕως ἂν εὖ θῇς τὰ κατὰ, *καλῶς γὰρ οἶσθας ὡς σ, *νῦν μοι σεαυτὸν δός, *ληρεῖς· βαρυτάτῳ δ' ἐμπ, *ᾧ κατακέκναισμαι καὶ δι, *σὺ δ' οὖν τὸ κατ' ἐμέ, *βέλτιστ', ἐρῶντι, πλέον δυοῖν σοι. Ultimum feliciter explevit Lef. ex fr. com. adesp. 444 Kock, cetera ego addidi coniectura incertissima, vel potius exempli gratia, ut indicarem quomodo cohaerere haec mihi viderentur; versus 8—11 Lef. non tentavit, 12—15 Croiset sic scripsit: ληρεῖς· ἀέλπτῳ δ' ἐμπέπλεγμαι πράγματι. | νόσῳ γὰρ οἵᾳ πάνυ διέφθαρμαι, Γέτα. | νοσοῦντι μέντοι μὴ καταρῶ, πρὸς θεῶν. | ἔρως μ' ἔβλαψε. Post vs. 13 in cod. est mutatae personae signum :.

ΔΑΟΣ.

μὴ καταρῶ, πρὸς θεῶν,
βέλτιστ', ἐρῶντι.

ΓΕΤΑΣ.

τί σὺ λέγεις; ἐρᾷς;

ΔΑΟΣ.

ἐρῶ.

ΓΕΤΑΣ.

πλέον δυοῖν σοι χοινίκων ὁ δεσπότης
παρέχει· πονηρόν, Δᾶ'. ὑπερδειπνεῖς ἴσως.

ΔΑΟΣ.

πέπονθα τὴν ψυχήν τι παιδίσκην ὁρῶν
συντρεφομένην, ἄκακόν, κατ' ἐμαυτόν, ὦ Γέτα.

ΓΕΤΑΣ.

δούλη ἐστίν;

ΔΑΟΣ.

οὕτως ἡσυχῇ, τρόπον τινά.
ποιμὴν γὰρ ἦν Τίβειος οἰκῶν ἐνθαδί,
Πτελέασι γεγονώς, οἰκέτης νέος ὤν ποτε.
ἐγένετο τούτῳ δίδυμα ταῦτα παιδία,
ὡς ἔλεγεν αὐτός, ἥ τε Πλαγγών, ἧς ἐρῶ, —

ΓΕΤΑΣ.

νῦν μανθάνω.

ΔΑΟΣ.

τὸ μειράκιόν θ', ὁ Γοργίας.

ΓΕΤΑΣ.

ὁ τῶν προβατίων ἐνθάδ' ἐπιμελούμενος
νυνὶ παρ' ἡμῖν;

ΔΑΟΣ.

οὗτος. ὢν ἤδη γέρων
ὁ Τίβειος ὁ πατὴρ εἰς τροφήν γε λαμβάνει

τούτοις παρὰ τοῦ ἐμοῦ δεσπότου μνᾶν, καὶ πάλιν —
λιμὸς γὰρ ἦν — μνᾶν. εἶτ' ἀπέσκλη.

ΓΕΤΑΣ.

τὴν τρίτην
ὡς οὐκ ἀπεδίδου τυχὸν ὁ δεσπότης ὁ σός.

ΔΑΟΣ.

ἴσως. τελευτήσαντα δ' αὐτὸν προσλαβὼν
ὁ Γοργίας τι κερμάτιον ἔθαψε, καὶ
τὰ νόμιμα ποιήσας πρὸς ἡμᾶς ἐνθάδε
ἐλθὼν ἀγαγών τε τὴν ἀδελφὴν ἐπιμένει,
τὸ χρέος ἀπεργαζόμενος.

ΓΕΤΑΣ.

ἡ Πλαγγὼν δὲ τί;

ΔΑΟΣ.

μετὰ τῆς ἐμῆς κεκτημένης ἐργάζεται
ἔρια διακονεῖ τε, παιδίσκη πάνυ —
Γέτα, καταγελᾷς;

ΓΕΤΑΣ.

μὰ τὸν Ἀπόλλω.

ΔΑΟΣ.

πάνυ, Γέτα,
ἐλευθέριος καὶ κοσμία.

ΓΕΤΑΣ.

τί οὖν σύ; τί
πράττεις ὑπὲρ σαυτοῦ;

ΔΑΟΣ.

λάθρᾳ μέν, Ἡράκλεις,
οὐδ' ἐγκεχείρηκ', ἀλλὰ τῷ ἐμῷ δεσπότῃ

---

30 sq. Lef. τὴν τρίτην, ὡς οὐκ ἀπεδίδου, τυχὸν ὁ δεσπότης ὁ σός —. Recte interpunxit vWil.
38. ἔρια] ϑρῖα Lef. legit, <τὰ>ϑρῖα metri causa supplens. Corr. vWil. — Cod. : παιδισκη :, Davo totum versum continuavit vWil.

εἴρηκ', ὑπέσχηταί τ' ἐμ
αὐτήν, διαλεχθεὶς πρὸς
τ . . . . . ρος ἀποδημεῖ τρ
πρᾶξιν ἰδίαν εἰς λημ
ἐχόμεθα τῆς αὐτῆς
σῴζοιτο. : χρηστὸν
—
ὄνησις εἴη : πολὺ π
φρονεῖς. ἐγὼ γὰρ κ
θυσαιμ' αλιονητον
ωξυλοφορ

Ultimos decem versus fragmenti quomodo expleam non habeo.

Fabulae igitur initio duo mancipia inter se confabulando spectatoribus enarrant argumentum, collato autem indice personarum intellegimus rem ita se habere. Myrrhine olim puella a Phidia quodam cum esset vitiata, gemellos Plangonem et Gorgiam clam enixa a Tibeio tutore, homine libertino et rure viventi, impetravit ut is pro suis eos liberis educaret. Postea nupsit illi qui vim ei olim intulerat Phidiae, neque ipsa tamen neque ille sciens se pridem cum eo rem habuisse; nocte igitur iuvenis ita deliquerit necesse est, fortasse per vigilias subita vi irruptione facta in puellas festum obeuntes, perinde atque in Disceptantibus fabula factum esse mox videbimus.

Itaque mulier partum illum clandestinum summa cura celavit maritum. Tibeius autem volventibus annis cum senex per annonae caritatem inopia premeretur, ut seque gemellosque alere posset duas minas sumsit mutuas a Phidia, — sciebatne Myrrhinae maritum hunc esse? nescire certe vix potuit! — dein tertia mina petita, sed non impetrata, fame est interemtus. Filius tum pecuniae etiam aliquid a Phidia petivit, ut patrem — quem quidem putabat — sepelire posset, dein cum sorore in

46. *ἰδίαν] cod. ἴδ.ν, Lef. ἰδὼν metro invito. Dein sitne λῆμμα (Lef.) an Λήμνον scribendum quis dixerit.
51. Probabiliter vWil. θύσαιμ' ἅλις, νὴ τὸν Ποσειδῶ.

Phidiae aedes postquam migravit, ut patris illud debitum laborando solveret, pastor a Phidia locatus est vicino Lacheti, puella autem ancilla facta est Myrrhinae, suae videlicet matris. Mox eiusdem familiae servus Davus eam in contubernium petivit, non noluit Phidias dominus, sed . . .

Desunt cetera; sed ex argumento scimus Plangoni idem accidisse quod olim ipsius matri Myrrhinae, Lachetem enim vicinum, iuvenem petulantem, per vim ei eripuisse pudorem; uterum nunc gerere putanda est. Id iam Davus — ab ipsa fortasse — rescivit eamque ob causam animi usque adeo despondet, mox ipsum se in ea peccasse perhibiturus generosissime.

Finem tamen fabulae non fecere Plangonis cum Davo nuptiae, sed cum amatore illo nimis audaci, qui libentissime eam in matrimonium accepit, postquam liberali loco natam didicit et dotem ei inventam.

Sophrones, quam commemorat argumentum, nutricis est nomen; Myrrhinae olim nutricem fuisse suspicor. Sed neque ipsius, neque Sangarii, quod nomen est servile, quae partes fuerint novimus, neque Heros ille quid egerit satis apparet.

---

# II.

## ΕΠΙΤΡΕΠΟΝΤΕΣ.

---

Nomen fabulae cum argumento metrico, indice personarum, primis versibus fere quinquaginta interiit, certum tamen est, quoniam inter versus horum fragmentorum complures sunt, quos *ἐν Ἐπιτρέπουσι* lectos fuisse testantur veteres. Ipsi *οἱ ἐπιτρέποντες* sive Davus opilio et Syriscus carbonarius coram arbitro Smicrine disceptantes initium faciunt.

Fabula agitur Athenis ante aedes Charisii.

### SCENA PRIMA.

Davus, Syriscus. Muta persona adest Syrisci uxor, infantulum brachiis tenens.

*ΔΑΟΣ.*

*φεύγεις τὸ δίκαιον.*

*ΣΥΡΙΣΚΟΣ.*

*συκοφαντεῖς, δυστυχής.*

*ΔΑΟΣ.*

*οὐ δεῖ σ᾽ ἔχειν τὰ μὴ σ᾽.*

*ΣΥΡΙΣΚΟΣ.*

*ἐπιτρεπτέον τινί*
*ἐστι περὶ τούτων.*

*ΔΑΟΣ.*

*βούλομαι· κρινώμεθα.*

---

2[b] sq.[a] affert schol. Ar. Ach. 1115 (Men. fr. 183 Kock).

*ΣΥΡΙΣΚΟΣ.*

τίς οὖν . . .;

*ΔΑΟΣ.*

ἐμοὶ μὲν πᾶς ἱκανός. δίκαια δὲ
πάσχω· τί γάρ σοι μετεδίδουν!

(Accedit Smicrines.)

## SCENA SECUNDA.

Davus, Syriscus, Smicrines.

*ΣΥΡΙΣΚΟΣ.*

(appropinquantem senem indicans:)

τοῦτον λαβεῖν
βούλει κριτήν;

*ΔΑΟΣ.*

ἀγαθῇ τύχῃ.

*ΣΥΡΙΣΚΟΣ.*

πρὸς τῶν θεῶν,
βέλτιστε, μικρὸν ἂν σχολάσαις ἡμῖν χρόνον;

*ΣΜΙΚΡΙΝΗΣ.*

ὑμῖν; περὶ τίνος;

*ΣΥΡΙΣΚΟΣ.*

ἀντιλέγομεν πρᾶγμά τι.

*ΣΜΙΚΡΙΝΗΣ.*

τί οὖν ἐμοὶ μέλει;

*ΣΥΡΙΣΚΟΣ.*

κριτὴν τούτου τινὰ
ζητοῦμεν ἴσον. εἰ δή σε μηδὲν κωλύει,
διάλυσον ἡμᾶς.

*ΣΜΙΚΡΙΝΗΣ.*

ὦ κάκιστ' ἀπολούμενοι,
δίκας λέγοντες περιπατεῖτε, διφθέρας
ἔχοντες;

---

10. δή vWil.] δε cod.

ΣΥΡΙΣΚΟΣ.

ἀλλ' ὅμως, — τὸ πρᾶγμ' ἐστὶν βραχὺ
καὶ ῥᾴδιον μαθεῖν, — πάτερ, δὸς τὴν χάριν.
μὴ καταφρονήσῃς, πρὸς θεῶν. ἐν παντὶ δεῖ
καιρῷ τὸ δίκαιον ἐπικρατεῖν ἁπανταχοῦ,
καὶ τὸν παρατυγχάνοντα τούτου τοῦ μέρους
ἔχειν πρόνοιαν· κοινόν ἐστι τῷ βίῳ
πάντων.

ΔΑΟΣ.

μετρίῳ γε συμπέπλεγμαι ῥήτορι.
τί γὰρ μετεδίδουν!

ΣΜΙΚΡΙΝΗΣ.

ἐμμενεῖτ' οὖν, εἰπέ μοι,
οἷς ἂν δικάσω;

ΣΥΡΙΣΚΟΣ.

πάντως.

ΣΜΙΚΡΙΝΗΣ.

ἀκούσομαι· τί γὰρ
τὸ κωλύον; σὺ πρότερος ὁ σιωπῶν λέγε.

ΔΑΟΣ.

μικρόν γ' ἄνωθεν, οὐ τὰ πρὸς τοῦτον μόνον
πραχθένθ', ἵν' ᾖ σοι καὶ σαφῆ τὰ πράγματα.
ἐν τῷ δάσει τῷ πλησίον τῶν χωρίων
τούτων ἐποίμαινον τριακοστὴν ἴσως,
βέλτιστε, ταύτην ἡμέραν αὐτὸς μόνος,
καὶ ἐκκείμενον παιδάριον εὗρον νήπιον,
ἔχον δέραια καὶ τοιουτονί τινα
κόσμον.

ΣΥΡΙΣΚΟΣ.

περὶ τούτων ἐστίν.

---

15—18. Affert Orion Anth. 6, 4, versum 15 Stob. Flor. 9, 12 (Men. fr. 173 Kock).

22. Cod. κωλυονμεσου, duas igitur lectiones κωλύον $\overset{\text{σύ}}{\text{με}}$ deinceps in textum recepit librarius.

30—34. Duas litteras singulorum versuum initio oblitteratas supplevit Lef.

ΔΑΟΣ.

οὐκ ἐᾷ λέγειν.

ΣΜΙΚΡΙΝΗΣ.

ἐὰν λαλῇς μεταξύ, τῇ βακτηρίᾳ
καθίξομαί σου.

ΔΑΟΣ.

καὶ δικαίως!

ΣΜΙΚΡΙΝΗΣ.

λέγε.

ΔΑΟΣ.

λέγω.

ἀνειλόμην, ἀπῆλθον οἴκαδ' αὔτ' ἔχων,
τρέφειν ἔμελλον. ταῦτ' ἔδοξέ μοι τότε,
ἐν νυκτὶ βουλὴν δ' — ὅπερ ἅπασι γίγνεται —
διδοὺς ἐμαυτῷ διελογιζόμην· ἐμοὶ
τί παιδοτροφίας καὶ κακῶν; πόθεν δ' ἐγὼ
τοσαῦτ' ἀναλώσω; τί φροντίδων ἐμοί;
τοιουτοσί τις ὢν ἐποίμαινον πάλιν
ἕωθεν. ἦλθεν οὗτος — ἔστι δ' ἀνθρακεὺς —
εἰς τὸν τόπον τὸν αὐτὸν ἐκπρίσων ἐκεῖ
στελέχη· πρότερον δέ μοι συνήθης ἐγεγόνει.
ἐλαλοῦμεν ἀλλήλοις. σκυθρωπὸν ὄντα με
ἰδὼν „τί σύννους," φησί, „Δᾶος;" — „τί γὰρ ἐγὼ
περίεργός εἰμι!" — καὶ τὸ πρᾶγμ' αὐτῷ λέγω,
ὡς εὗρον, ὡς ἀνειλόμην. ὃ δὲ τότε μὲν
εὐθύς, πρὶν εἰπεῖν πάντ', ἐδεῖθ', „οὕτω τί σοι
ἀγαθὸν γένοιτο, Δᾶε" παρ' ἕκαστον λέγων·
„ἐμοὶ τὸ παιδίον δός. οὕτως εὐτυχής,
„οὕτως ἐλεύθερος!... γυναῖκα" φησὶ „γὰρ

---

32. καθίξομαι vWil.].. θίξομαι cod., ἐπιθίξομαι Lef.
35 sq. = Men. fr. 733 Kock (βουλὰς pro βουλὴν δ').
39. *ὢν] ην cod.
41. ἐκπρίσων] -σσων cod.
44 sq. *Sic interpunxi; „τί γάρ;" ἐγώ, „περίεργός εἰμι." Lef.

„ἔχω· τεκούσῃ δ' ἀπέθανεν τὸ παιδίον" —
ταύτην λέγων, ἣ νῦν ἔχει τὸ παιδίον.

ΣΜΙΚΡΙΝΗΣ.

ἐδέου, Σύρισκ';

ΣΥΡΙΣΚΟΣ.

ἔγωγ'.

ΔΑΟΣ.

ὅλην τὴν ἡμέραν
κατέτριψε· λιπαροῦντι καὶ πείθοντί με
ὑπεσχόμην. ἔδωκ'· ἀπῆλθεν, μυρία
εὐχόμενος ἀγαθά· λαμβάνων μου κατεφίλει
τὰς χεῖρας.

ΣΜΙΚΡΙΝΗΣ.

ἐπόεις ταῦτ';

ΣΥΡΙΣΚΟΣ.

ἐπόουν.

ΔΑΟΣ.

ἀπηλλάγη
μετὰ τῆς γυναικός. περιτυχών μοι νῦν ἄφνω
τὰ τότε συνεκτεθέντα τούτῳ — μικρὰ δὲ
ἦν ταῦτα καὶ λῆρός τις, οὐθέν! — ἀξιοῖ
ἀπολαμβάνειν· καὶ δεινὰ πάσχειν φήσ' ὅτι
οὐκ ἀποδίδωμ' αὐτὸς δ' ἔχειν ταῦτ' ἀξιῶ.
ἐγὼ δέ γ' αὐτόν φημι δεῖν ἔχειν χάριν
οὗ μετέλαβεν δεόμενος· εἰ μὴ πάντα δὲ
τούτῳ δίδωμ', οὐκ ἐξετασθῆναί με δεῖ.
εἰ καὶ βαδίζων εὗρεν ἅμ' ἐμοὶ ταῦτα καὶ
ἦν κοινὸς Ἑρμῆς, τὸ μὲν ἂν οὗτος ἔλαβεν ἄν,

52. νῦν ἔχει τὸ Lef.] νυ......ο cod.
53. *ἔγωγ'] supplevi, cod. om.; Croiset οὕτως (id quod antecedit Σύρισκ' in Σύρισχ' mutans). Etiam ὅλην <μὲν οὖν> τὴν ἡμέραν recte haberet, sed fieri vix potuit quin Syriscus responderet Smicrini se interroganti.
66. καὶ in fine Lef.] κ.. cod.
67. *ἔλαβεν ἄν] cod. ελα[, Lef. ἐλάμβανεν.

*τὸ δ' ἐγώ· μόνου δ' εὑρόντος, οὐ παρὼν τότε*
*ἅπαντ' ἔχειν οἴει σε δεῖν, ἐμὲ δ' οὐδὲ ἕν;*
*τὸ πέρας δέδωκά σοί τι τῶν ἐμῶν ἑκών.*
*εἰ τοῦτ' ἀρεστόν ἐστί σοι, καὶ νῦν ἔχε·*
*εἰ δ' οὐκ ἀρέσκει, μετανοεῖς δ', ἀπόδος πάλιν,*
*καὶ μηδὲν ἀδίκει μηδ' ἔλαττον. πάντα δὲ*
*τὰ μὲν παρ' ἕκοντος, τὰ δὲ κατισχύσαντά με*
*οὐ δεῖ σ' ἔχειν. εἴρηκα τόν γ' ἐμὸν λόγον.*

*ΣΥΡΙΣΚΟΣ.*

*εἴρηκεν;*

*ΣΜΙΚΡΙΝΗΣ.*

*οὐκ ἤκουσας; εἴρηκεν.*

*ΣΥΡΙΣΚΟΣ.*

*καλῶς·*
*οὐκοῦν ἐγὼ μετὰ ταῦτα. μόνος εὗρ' οὑτοσὶ*
*τὸ παιδίον, καὶ πάντα ταῦθ' ἃ νῦν λέγει*
*ὀρθῶς λέγει, καὶ γέγονεν οὕτως, ὦ πάτερ·*
*οὐκ ἀντιλέγω. δεόμενος, ἱκετεύων ἐγὼ*
*ἔλαβον παρ' αὐτοῦ τοῦτ'· ἀληθῆ γὰρ λέγει.*
*ποιμήν τις ἐξήγγειλέ μοι, πρὸς ὃν οὑτοσὶ*
*ἐλάλησε, τῶν τούτῳ συνέργων, ἅμα τινὰ*
*κόσμον συνευρεῖν αὐτόν. ἐπὶ τοῦτον, πάτερ,*
*αὐτὸς πάρεστιν οὑτοσὶ νυνὶ λόγον.*
*δός μοι, γύναι.*

(Mulier praebet ei infantulum.)

*τὰ δέραια καὶ γνωρίσματα*

---

68. **τότε*] deest in cod., Lef. addit *γε σύ*, vWil. *ὅμως*. *Temporis* indicium necessarium videtur, ut appareat *imperfecti* participium esse *παρών*.

70. *ἑκών* Lef.] *ε*... cod.

72 sq. *πάλιν* et *δὲ* Lef.] *πα*... et *δ*. cod.

76[a]. Sic distribuit vWil., Lef. *ΣΜΙΚΡ. εἴρηκεν.—οὐκ ἤκουσας; εἴρηκεν.*

85—87. Sic interpunxit vWil.; Lef. *οὑτοσί· νυνὶ λόγον (δός μοι, γύναι, τὰ δέραια καὶ γνωρίσματα) οὗτός σ' ἀπαιτεῖ.* Nondum tenet mulier illum mundum. Ipse tentaveram **οὑτοσί. νυνὶ λόγον | δός μοι σύ. ναί, τὰ δέραια καὶ γνωρίσματα | οὗτός σ' ἀπαιτεῖ*: *ad hunc petendum ipse iam adest* cet., necdum plane abieci coniecturam, cum praesertim post *οὑτοσὶ* in codice scriptum sit punctum teste Lef.; simplicior tamen est Wilamowitzii ratio et (si recte legit Lef., nam *Γ* et *C* saepe simillimae sibi sunt litterae) fortasse probabilior.

85. *νυνὶ λόγον* Lef.] ...*ιλ*..*ον* cod.

*οὗτός σ' ἀπαιτεῖ, Δᾶ'· ἑαυτῷ φησι γὰρ*
*ταῦτ' ἐπιτεθῆναι κόσμον, οὐ σοὶ διατροφήν.*
*καὶ ἐγὼ συναπαιτῶ κύριος γεγενημένος*
*τούτου· σὺ δ' ἐπόησάς με δούς. νῦν γνωστέον,*
*βέλτιστέ, σοι ταῦτ' ἐστίν, ὡς ἐμοὶ δοκεῖ,*
*τὰ χρυσί' ἢ ταῦθ' ἅττα ποτ' ἐστί, πότερα δεῖ*
*κατὰ τὴν δόσιν τῆς μητρός, ἥτις ἦν ποτε,*
*τῷ παιδίῳ τηρεῖσθ' ἕως ἂν ἐκτραφῇ,*
*ἢ τὸν λελωποδυτηκότ' αὐτὸν ταῦτ' ἔχειν,*
*εἰ πρῶτος εὗρε τἀλλότρια. τί οὖν τότε,*
*ὅτ' ἐλάμβανον τοῦτ', οὐκ ἀπῄτουν ταῦτά σε;*
*οὔπω παρ' ἐμοὶ τότ' ἦν ὑπὲρ τούτου λέγειν.*
*ἥκω δὲ καὶ νῦν οὐκ ἐμαυτοῦ γ' οὐδὲ ἓν*
*ἴδιον ἀπαιτῶν. — „κοινὸς Ἑρμῆς". — μηδὲ ἓν*
*εὕρισχ' ὅπου πρόσεστι σῶμ' ἀδικούμενον.*
*οὐχ εὕρεσις τοῦτ' ἔστιν, ἀλλ' ἀφαίρεσις.*
*βλέψον δὲ καὶ ἐκεῖ, πάτερ· ἴσως ἔσθ' οὑτοσὶ*
*ὁ παῖς ὑπὲρ ἡμᾶς, καὶ τραφεὶς ἐν ἐργάταις*
*ὑπερόψεται ταῦτ', εἰς δὲ τὴν αὑτοῦ φύσιν*
*ἴσως ἐλευθέριόν τι τολμήσει ποεῖν,*
*θηρᾶν λέοντας, ὅπλα βαστάζειν, τρέχειν*
*ἐν ἀγῶσι. τεθέασαι τραγῳδούς, οἶδ' ὅτι·*
*νῦν ταῦτα κατέχεις πάντα. Νηλέα τινὰ*
*Πελίαν τ' ἐκείνους εὗρε πρεσβύτης ἀνὴρ*
*αἰπόλος, ἔχων οἵαν ἐγὼ νῦν διφθέραν·*

---

92. *ἅττα] *ατι* cod.
94. *ἐκτραφῇ* Lef.] *εκτριφη* cod.
98. *τότ' ... λέγειν* vWil.] *τοῦτ' ... λέγων* Lef. cum cod.
99. *γ'*] om. cod., suppl. Lef.
101—110. Singulorum versuum litteras initiales tres duasve vel unam supplevit Lef.
102. = Men. fr. 180 Kock.
103. *οὑτοσὶ* Lef.] *ο...σι* cod.
104. *ὁ παῖς*] scripsi dubitanter, Lef. [*γένν*]*ης*, quod ferri nequit; vWil. dubitanter *φύσεως*.
106 sq. = Men. fr. 722 Kock; pro *ὅπλα* ibi *ῥόπαλα* coniciebat Haupt.
106. **ἐλευθέριον*] *ελευθερον* cod.
108. *Post *ἀγῶσι* scripsi punctum, quod Lef. (in corrigendis) post *τρέχειν* posuerat.

ὡς δ' ᾔσθετ' αὐτοὺς ὄντας αὐτοῦ κρείττονας,
λέγει τὸ πρᾶγμ', ὡς εὗρεν, ὡς ἀνείλετο·
ἔδωκε δ' αὐτοῖς πηρίδιον γνωρισμάτων,
ἐξ οὗ μαθόντες πάντα τὰ καθ' αὐτοὺς σαφῶς
ἐγένοντο βασιλεῖς οἱ τότ' ὄντες αἰπόλοι.
εἰ δέ γε λαβὼν ἐκεῖνα Δᾶος ἀπέδοτο,
αὐτὸς ἵνα κερδάνειε δραχμὰς δώδεκα,
ἀγνῶτες ἂν τὸν πάντα διετέλουν χρόνον
οἱ τηλικοῦτοι καὶ τοιοῦτοι τῷ γένει.
οὐ δὴ καλῶς ἔχει τὸ μὲν σῶμ' ἐκτρέφειν
ἐμὲ τοῦτο νῦν, αὐτοῦ δὲ τὴν σωτηρίας
ἐλπίδα λαβόντα Δᾶον ἀφανίσαι, πάτερ.
γαμῶν ἀδελφήν τις διὰ γνωρίσματα
ἐπέσχε, μητέρ' ἐντυχὼν ἐρρύσατο,
ἔσωσ' ἀδελφόν. ὄντ' ἐπισφαλῆ φύσει
τὸν βίον ἁπάντων τῇ προνοίᾳ δεῖ, πάτερ,
τηρεῖν, πρὸ πολλοῦ ταῦθ' ὁρῶντ' ἐξ ὧν ἔνι.
„ἀλλ' ἀπόδος, εἰ μή" φησίν „ἀρέσκει". τοῦτο γὰρ
ἰσχυρὸν οἴεταί τι πρὸς τὸ πρᾶγμ' ἔχειν.
οὐκ ἔστι δίκαιον, εἴ τι τῶν τούτου σε δεῖ
ἀποδιδόναι καὶ τοῦτο πρὸς ζητεῖς λαβεῖν,
ἵν' ἀσφαλέστερον πονηρεύσῃ πάλιν,
εἰ νῦν τι τῶν τούτου σέσωκεν ἡ Τύχη.
εἴρηκα. κρῖνον ὅ τι δίκαιον νενόμικας.

ΣΜΙΚΡΙΝΗΣ.

ἀλλ' εὔκριτ' ἐστί. πάντα τὰ συνεκκείμενα
τοῦ παιδίου ἐστί· τοῦτο γιγνώσκω.

---

116. = Com. adesp. fr. 488 Kock (*βασιλεῖς ἐγένοντο χοί*).
117. *γε* Lef.] *κε* cod.
118. *αὐτὸς* vWil.] *αυτω* cod. (?), *αὐτῷ* Lef. (cum vitio metrico).
120. *οἱ*] *η* cod.; corr. Lef. e Men. fr. 181 Kock.
121. *καλῶς ἔχει τὸ* Lef.] *καλω...ει..* cod.
122. *νῦν, αὐτοῦ* Lef.] *..ν...ου* cod.
— *τὴν* vWil.] *τησ* cod.
131 sq. Sic interpunxit vWil.; Lef. semicolon scripserat post *δίκαιον* et virgulam post *αποδιδόναι*.

*ΔΑΟΣ.*

καλῶς.

τὸ παιδίον δ'·

*ΣΜΙΚΡΙΝΗΣ.*

οὐ γνώσομ' εἶναι, μὰ Δία, σοῦ

τοῦ νῦν ἀδικοῦντος, τοῦ βοηθοῦντος δὲ καὶ

ἐπεξιόντος τῷ ἀδικεῖν μέλλοντί σοι.

*ΣΥΡΙΣΚΟΣ.*

πόλλ' ἀγαθά σοι γένοιτο!

*ΔΑΟΣ.*

δεινή γ' ἡ κρίσις,

νὴ τὸν Δία τὸν σωτῆρα· πάνθ' εὑρὼν ἐγὼ

ἅπαντα περιέσπασμ', ὁ δ' οὐχ εὑρὼν ἔχει.

οὐκοῦν ἀποδιδῶ;

*ΣΜΙΚΡΙΝΗΣ.*

φημί.

*ΔΑΟΣ.*

δεινή γ' ἡ κρίσις,

ἢ μηθὲν ἀγαθόν μοι γένοιτο!

*ΣΜΙΚΡΙΝΗΣ.*

φέρε ταχύ.

*ΔΑΟΣ.*

ὦ Ἡρακλεῖς, ἃ πέπονθα!

*ΣΥΡΙΣΚΟΣ.*

τὴν πήραν λαβὲ

καὶ δεῖξον· ἐν ταύτῃ περιφέρεις γάρ.

---

137. καλῶς] Smicrini dari iubet vWil.
138. Δία, σοῦ Lef.] δι.... cod.
139. δὲ καὶ] supplevit vWil.; δέ οἱ suppleverat Croiset.
140. τῷ ἀδικεῖν] τ' ἀδικεῖν Lef.; correxit vWil.
141. γένοιτο Lef.] γενοιτ' cod.
141 sq. κρίσις et ἐγὼ in fine supplevit Lef.
143. ἔχει vWil.] ἀρεῖ Lef., α... in codice esse scribens, sed non certam esse litteram α.
145. *ταχύ] τ... cod., τοδί Lef.
146. λαβὲ Lef.] λ...cod.
146[b] sq.[a] Smicrini dederat Lef.; corr. vWil.

ΔΑΟΣ.

βραχὺ
πρόσμεινον, ἱκετεύω σ', ἵν' ἀποδῶ.

(Secum:)

τί γὰρ ἐγὼ
ἐπέτρεψα τούτῳ!

ΣΥΡΙΣΚΟΣ.

δός ποτ', ἐργαστήριον.

ΔΑΟΣ.

αἰσχρά γ' ἃ πέπονθα.

(Peram tradit Syrisco.)

ΣΜΙΚΡΙΝΗΣ.

πάντ' ἔχεις;

ΣΥΡΙΣΚΟΣ.

οἶμαί γε δή,
εἰ μή τι καταπέπωκε τὴν δίκην ἐμοῦ
λέγοντος, ὡς ἡλίσκετ'.

ΔΑΟΣ.

οὐκ ἂν ᾠόμην.

ΣΥΡΙΣΚΟΣ.

ἀλλ' εὐτύχει, βέλτιστε.

(Abit Smicrines.)

τοιοῦτόν γ' ἔδει
θᾶττον δικάζειν πάντας.

ΔΑΟΣ.

ἀδίκου πράγματος,
ὦ Ἡράκλεις! οὐ γέγονε δεινόν μοι κακόν;

---

147. *βραχὺ* Lef.] *βρ...* cod.

149[b]. An Smicrini tribuam dubito.

150. *αἰσχρά* vWil.] *..χρα* cod., *κέκραγ'· „ἃ πέπονθα“* Lef., Syrisco continuans; nempe in errorem eum pellexerat versus 146. — Pro *γ' ἃ* vWil. mavult *γε*.

150[b]—152. Sic distribuit vWil.; Lef. verba *πάντ' ἔχεις* Davo tribuerat sine signo interrogandi, verba *οἶμαι — ἡλίσκετ'* Smicrini, verba *οὐκ ἂν ᾠόμην* Syrisco (cum vs. 153 sq.[a]).

151. *εἰ*] supplevit Lef.

153. *τοιοῦτόν γ' ἔδει* Croiset] *τοιου....εδ..* cod.

154. *ἀδίκου πράγματος* Croiset] *...κ....... ατος* cod.

155. **δεινόν μοι κακόν;*] sic scripsi dubitanter, *δειν.........* cod., *δεινή γ' ἡ κρίσις* Lef.

*ΣΥΡΙΣΚΟΣ.*

*πονηρὸς ἦσθας.*

*ΔΑΟΣ.*

*ὦ πονήρ', εἰ μὴ σὺ νῦν*
*τούτῳ φυλάξεις αὐτός, ἔσται σοι κακῶς,*
*εὖ ἴσθι· τηρήσω σε πάντα τὸν χρόνον.*

*ΣΥΡΙΣΚΟΣ.*

*οἴμωζε καὶ βάδιζε.*

(Abit Davus).

*σὺ δὲ ταυτί, γύναι,*
*λαβοῦσα πρὸς τὸν τρόφιμον ἐνθάδ' εἴσφερε.*
*Χαιρέστρατον νῦν γὰρ μενοῦμεν ἐνθάδε,*
*εἰς αὔριον δ' ἐπ' ἔργον ἐξορμήσομεν*
*τὴν ἀποφορὰν ἀποδόντες. — ἀλλὰ ταῦτα δεῖ*
*πρῶτ' ἀπαριθμῆσαι καθ' ἕν. ἔχεις κοιτίδα τινά; —*
*βάλλ' εἰς τὸ προκόλπιον.*

(Sinum tendit mulier, dum e pera singula promit Syriscus. — Procedit ex aedibus Onesimus.)

## SCENA TERTIA.

Syriscus, Onesimus.

*ΟΝΗΣΙΜΟΣ.*

(secum:)

*μάγειρον βραδύτερον*
*οὐδεὶς ἑόρακε! τηνικαῦτ' ἐχθὲς πάλαι*
*ἔπινον.*

---

156. *ἦσθας] ἦσθα σ' (?) Lef.
— *ὦ πονήρ'] tribui Davo, in cod. sunt Syrisci.
156 sq. *εἰ μὴ σὺ νῦν et *αὐτός, ἔσται σοι κακῶς] cod. ......υνυν et αυτ.........., Croiset ὅπως σὺ νῦν et Lef. αὐτῷ (metro invito) τὰ συνεκκείμενα. Propter εὖ ἴσθι veri est simillimum Syriscum minatum esse aliquid.
158. πάντα τὸν χρόνον Lef.] π..τα......νον cod.
163 sq. *δεῖ...ἀπαριθμῆσαι] μοι... ἀπαρίθμησαι Lef. cum cod.

ΣΥΡΙΣΚΟΣ.

οὑτοσὶ μὲν εἶναι φαίνεται
ἀλεκτρυών τις καὶ μάλα στρυφνός· λαβέ.
τουτὶ δὲ διάλιθόν τι· πέλεκυς οὑτοσί.

ΟΝΗΣΙΜΟΣ.

(secum:)

τί ταῦτ᾽;

ΣΥΡΙΣΚΟΣ.

ἐπίχρυσος δακτύλιός τις οὑτοσί,
αὐτὸς σιδηροῦς. γλύμμα ταῦρος ἢ τράγος·
οὐκ ἂν διαγνοίην. Κλεόστρατος δέ τίς
ἐστιν ὁ ποιήσας, ὡς λέγει τὰ γράμματα.

ΟΝΗΣΙΜΟΣ.

(ad Syriscum et uxorem accedens:)

φέρε, δεῖξον.

ΣΥΡΙΣΚΟΣ.

(anulum ei praebens:)

ἤν. σὺ δ᾽ εἶ τίς;

ΟΝΗΣΙΜΟΣ.

αὐτός ἐστι!

ΣΥΡΙΣΚΟΣ.

τίς;

ΟΝΗΣΙΜΟΣ.

ὁ δακτύλιος.

ΣΥΡΙΣΚΟΣ.

ὁ ποῖος; οὐ γὰρ μανθάνω.

ΟΝΗΣΙΜΟΣ.

τοῦ δεσπότου τοῦ ἐμοῦ Χαρισίου.

---

168. *στρυφνός] στριφνοσ cod.
170. ἐπίχρυσος vHerwerden] ὑπόχρυσος Lef. cum cod.
173. ἐστιν Lef.] ....ν cod.
174. φέρε vWil.] .... cod., τί δέ; Lef.
— αὐτός Lef.] .υτος cod., οὗτος vWil.
175. ὁ δακτύλιος Lef.] ...κτυλιοσ cod.
— *ὁ ποῖος;] ὁποῖος; Lef.; cf. Ar. Ach. 963 Timocl. fr. 12 al.
176. τοῦ] supplevit Lef.

ΣΥΡΙΣΚΟΣ.

χολᾷς!

ΟΝΗΣΙΜΟΣ.

ὃν ἀπώλεσεν.

ΣΥΡΙΣΚΟΣ.

τὸν δακτύλιον θές, ἄθλιε.

ΟΝΗΣΙΜΟΣ.

τὸν ἡμέτερόν σοι θῶ; πόθεν δ' αὐτὸν λαβὼν
ἔχεις;

ΣΥΡΙΣΚΟΣ.

Ἄπολλον καὶ θεοί, δεινοῦ κακοῦ!
οἷον ἀποσῶσαι χρῆματ' ἐστὶν ὀρφανοῦ
παιδός! ὁ προσελθὼν εὐθὺς ἁρπάζειν βλέπει.
τὸν δακτύλιον θές, φημί.

ΟΝΗΣΙΜΟΣ.

προσπαίζεις ἐμοί·
τοῦ δεσπότου ἐστί, νὴ τὸν Ἀπόλλω καὶ θεούς.

ΣΥΡΙΣΚΟΣ.

ἀποσφαγείην πρότερον ἂν δήπουθεν ἢ
τούτῳ τί ποθ' ὑφείμην. ἄραρε, δικάσομαι
ἅπασι καθ' ἕνα· παιδίον ἐστίν, οὐκ ἐμά. —
(Ad uxorem:)
στρεπτὸν τί τουτί; λαβὲ σύ. πορφυρᾶ πτέρυξ.
εἴσω δὲ πάραγε.
(Abit mulier cum infantulo et pera in aedes Chaerestrati. —
Ad Onesimum:)
σὺ δὲ τί μοι λέγεις;

---

177. ὃν ἀπώλεσεν Lef.] ...πωλεσεν cod.
178. τὸν ἡμέτερον Lef.] ...η...ερον cod.
179. ἔχεις] supplevit Lef.
180. οἷον ἀποσῶσαι Lef.] .....π.σωσαι cod.
181. παιδός vWil.] ...δοσ cod., ἄλλος Lef. (..λοσ legens).
182. τὸν δακτύλιον Lef.] ....κτυλιον cod.
185. τί ποθ' Lef.] .ι..θ cod.
186. ἕνα· παιδίον Lef.] εν.π..διον cod.
187. *Sic scripsi, στρεπτόν τι τουτὶ (λαβὲ σύ), πορφυρᾶ πτέρυξ, Lef.

ΟΝΗΣΙΜΟΣ.

ἐγώ;

*Χαρισίου ἐστὶν οὑτοσί· τοῦτόν ποτε*
*μεθύων ἀπώλεσ', ὡς ἔφη.*

ΣΥΡΙΣΚΟΣ.

*Χαιρεστράτου*
*εἴμ' οἰκέτης· ἢ σῷζε τοῦτον ἀσφαλῶς,*
*ἤ μοι δὸς ἔστ' ἄν σοι παρέχω σῶν.*

ΟΝΗΣΙΜΟΣ.

*βούλομαι*
*αὐτὸς φυλάττειν.*

ΣΥΡΙΣΚΟΣ.

*οὐδὲ ἕν μοι διαφέρει·*
*εἰς ταὐτὸ γὰρ παράγομεν, ὡς ἐμοὶ δοκεῖ,*
*δεῦρ' ἀμφότεροι.*

ΟΝΗΣΙΜΟΣ.

*νυνὶ μὲν οὖν συνάγουσι καὶ*
*οὐκ ἔστιν εὔκαιρον τὸ μηνύειν ἴσως*
*αὐτῷ περὶ τούτων· αὔριον δέ.*

ΣΥΡΙΣΚΟΣ.

*καταμενῶ*
*αὔριον, ὅτῳ βούλεσθ' ἐπιτρέπειν ἑνὶ λόγῳ*
*ἕτοιμος.*

(Secum:)

*οὐδὲ νῦν κακῶς ἀπήλλαχα.*
*πάντων δ' ἀμελήσανθ', ὡς ἔοικεν, δεῖ δίκας*
*μελετᾶν· διὰ τουτὶ πάντα νυνὶ σῴζεται.*

(Abeunt ambo, Onesimus in aedes Charisii, Syriscus in Chaerestrati.)

---

190. *μεθύων ἀπώλεσ'* Lef.] *με........εσ'* cod.

192. **δὸς ἔστ' ἄν σοι*] sic scripsi dubitanter, *δ......νι..* cod. (sed *δ* et *νι* litteras non certas esse scribit Lef.), *δὸς αὐτὸν ἵνα* Croiset (metro invito, quapropter *ὡς* pro *ἵνα* proposuit vWil.).

193. *φυλάττειν*] supplevit Croiset.

201. Post hunc versum in cod. est series punctorum........, dein *χορου*.

Saltat chorus.

## ACTUS SECUNDUS.

### SCENA PRIMA.

Onesimus solus.

*ΟΝΗΣΙΜΟΣ.*

τὸν δακτύλιον ὥρμηκα πλεῖν ἢ πεντάκις
τῷ δεσπότῃ δεῖξαι προσελθών, καὶ σφόδρα
ὢν ἐγγὺς ἤδη, καὶ πρὸς αὐτῷ παντελῶς,
ἀναδύομαι. καὶ τῶν πρότερόν μοι μεταμέλει
μηνυμάτων· λέγει γὰρ ἐπιεικῶς πυκνά·
„ὡς τὸν φράσαντα ταῦτά μοι κακὸν κακῶς
ὁ Ζεὺς ἀπολέσαι!“ — μή με δὴ διαλλαγεὶς
πρὸς τὴν γυναῖκα τὸν φράσαντα ταῦτα καὶ
συνειδότ' ἀφανίσῃ λαβών. καλῶς δέ τοι
ἕτερόν τι πρὸς τούτοις κυκᾶν φυλάξομαι·
καὶ ἐνταῦθα κακὸν ἔνεστιν ἐπιεικῶς μέγα.

(Ex aedibus Charisii proruit flens Habrotonon.)

### SCENA SECUNDA

Onesimus, Habrotonon.

*ΑΒΡΟΤΟΝΟΝ.*

ἐᾶτέ μ', ἱκετεύω σε, καὶ μή μοι κακὰ
παρέχετ'. ἐμαυτήν, ὡς ἔοικεν, ἀθλία

---

204. ἤδη Lef.] η.. cod.
207. κακῶς Lef.] κακ.. cod.
208. *με δὴ] μ' ἕλη Lef., cod. μεδη (μελη Lef., sed λ certam non esse scribit). — διαλλαγεὶς vWil.] διαλλαγ... cod., διαλλαγὴν Lef.
209. ταῦτα καὶ Lef.] ταυ..... cod., τ' αὐτὰ καὶ vWil.
210. *δέ τοι] supplevi, δὲ πρὶν Croiset, ποιῶν vWil.
211. φυλάξομαι] supplevit vWil., πειράσομαι Croiset.
212. μέγα] supplevit vWil., γ' ἐμοί — Croiset.
213. ἐᾶτε vWil.] ἔα γέ Lef. aperto errore.
214. *ἀθλία] αθλ[ cod., ἀθλίαν Lef.

λέληθα χλευάζουσ᾽. ὁρᾷς, ὑβρίζομαι,
θεῖον δὲ μισεῖ μῖσος ἄνθρωπός μέ τι·
οὐκ ἔτι μ᾽ ἐᾷ γὰρ οὐδὲ κατάκεισθαι, τάλαν,
παρ᾽ αὐτόν, ἀλλὰ χωρίς.

ΟΝΗΣΙΜΟΣ.

(secum:)

ἀλλ᾽ ἀποδῶ πάλιν
παρ᾽ οὗ παρέλαβον ἀρτίως; ἄτοπον.

ΑΒΡΟΤΟΝΟΝ.

τάλας
οὗτος! τί τοσοῦτον ἀργύριον ἀπολλύει;
ἐπεὶ τό γ᾽ ἐπὶ τούτῳ τὸ τῆς θεοῦ φέρειν
κανοῦν ἔμοιγ᾽ οἷόν τε νῦν ἐστ᾽, ὦ τάλαν·
ἁγνὴ γάμων γάρ, φασίν, ἡμέραν τρίτην
ἤδη κάθημαι.

---

215. ὁρᾷς Lef.] .ρασ cod.

— *ὑβρίζομαι] supplevi et sequentia adiunxi. Lacunam duarum paginarum sive unius folii statuit Lef.; sed duplex folium sive paginae quatuor versuum fere 35 interciderint sic statuamus necesse, quoniam integra supersunt folia duo proxima huius quaternionis (ant ternionis); extant enim haec secundum editorem:

quaternionis folium D
C
B

Mente autem addi non iubet, ut ferebat ratio:

A

sed:

A

quae quatuor paginas implere potuerint hic non deesse probe sentiens. Sed ne duarum quidem paginarum materies satis apte fingi posse mihi videtur, et omnino nihil desidero; immo colloquium Onesimi cum Habrotono, quod vel sic praelongum est, infinitae fieret amplitudinis, si etiam septuaginta — ut minimum dicam — accederent versus. Aut igitur ternio hic fuit, aut quaternio ita dispositus:

D
C
B
A

Folii C etiam alteram partem superesse (non totam tamen) docuit vWil., ut infra videbimus (vs. 358 sqq.).

223. ἡμέραν τρίτην Croiset] ημ........ην cod.

*ΟΝΗΣΙΜΟΣ.*

(ut supra:)

*πῶς ἂν οὖν, πρὸς τῶν θεῶν,*
*πῶς ἄν, ἱκετεύω . . .*

(Supervenit Syriscus.)

## SCENA TERTIA.

Onesimus, Habrotonon, Syriscus.

*ΣΥΡΙΣΚΟΣ.*

*ποῦ ἐστιν ὃν ζητῶν ἐγὼ*
*περιέρχομ’;*

(Adspicit Onesimum.)

*οὗτος ἔνδον. — ἀπόδος, ὦ ἀγαθέ,*
*τὸν δακτύλιον ἢ δεῖξον ᾧ μέλλεις ποτέ.*
*κρινώμεθ’· ἐλθεῖν δεῖ μέ ποι.*

*ΟΝΗΣΙΜΟΣ.*

*τοιουτονί*
*ἐστιν τὸ πρᾶγμ’, ἄνθρωπε. τοῦ μὲν δεσπότου*
*ἔστ’, οἶδ’ ἀκριβῶς, οὑτοσὶ Χαρισίου·*
*ὀκνῶ δὲ δεῖξαι. πατέρα γὰρ τοῦ παιδίου*
*αὐτὸν ποῶ σχεδόν τι τοῦτον προσφέρων,*
*μεθ’ οὗ συνεξέκειτο.*

*ΣΥΡΙΣΚΟΣ.*

*πῶς, ἀβέλτερε;*

*ΟΝΗΣΙΜΟΣ.*

*Ταυροπολίοις ἀπώλεσεν τοῦτόν ποτε,*
*παννυχίδος οὔσης καὶ γυναικῶν· κατὰ λόγον*
*ἐστὶν βιασμὸν τοῦτον εἶναι παρθένου,*
*ἣ δ’ ἔτεκε τοῦτο καὶ ἐξέθηκε δηλαδή.*
*εἰ μέν τις οὖν εὑρὼν ἐκείνην προσφέροι*

---

225. *ἐστιν ὃν ζητῶν* vWil.] *στ.......των* cod., *ἐστι; διὰ πάντων* Croiset.

226. *ἔνδον. ἀπόδος* vWil.] *ενδον......* cod., *ἔνδον ἐστίν* Lef. (in fine versus signum interrogandi scribens et *ἢ* in versu 227).

234. *Ταυροπολίοις*] *-πωλ-* cod., item vs. 300 et 384.

τοῦτον, σαφὲς ἄν τι δεικνύοι τεκμήριον·
νυνὶ δ' ὑπόνοιαν καὶ ταραχὴν ἔχει.

ΣΥΡΙΣΚΟΣ.

σκόπει
αὐτὸς περὶ τούτων. εἰ δ' ἀνασείεις, ἀπολαβεῖν
τὸν δακτύλιόν με βουλόμενος δοῦναί τέ σοι
μικρόν τι, ληρεῖς· οὐκ ἔνεστιν οὐδὲ εἷς
παρ' ἐμοὶ μερισμός.

ΟΝΗΣΙΜΟΣ.

οὐδὲ δέομαι ταῦτά σου.

ΣΥΡΙΣΚΟΣ.

ἥξω διαδραμών — εἰς πόλιν γὰρ ἔρχομαι
νυνί — περὶ τούτων εἰσόμενος τί δεῖ ποεῖν.
(Abit Syriscus.)

ΑΒΡΟΤΟΝΟΝ.

τὸ παιδάριον, ὃ νῦν τιθηνεῖθ' ἡ γυνή,
'Ονήσιμ', ἔνδον, οὗτος εὗρεν ἀνθρακεύς;

ΟΝΗΣΙΜΟΣ.

ναί, φησίν.

ΑΒΡΟΤΟΝΟΝ.

ὡς κομψόν, τάλαν.

ΟΝΗΣΙΜΟΣ.

καὶ τουτονὶ
τὸν δακτύλιον ἐπόντα τοῦ ἐμοῦ δεσπότου.

ΑΒΡΟΤΟΝΟΝ.

αἶ, δύσμορ'! εἶτ', εἰ τρόφιμος ὄντως ἐστί σου,

---

239. *τι δεικνύοι* Croiset] *δεικνυ..αντι* cod. — Dicitur *οὗτος anulus*. Qui si puella reperta ostendatur Charisio, res palam sit; nunc vero, cum ignoretur puellae nomen, nihil nisi turbas anulus iuveni monstratus movere possit.

242—244. Duas litteras singulorum initio supplevit Lef.

244. *ταῦτά σου* Lef.] *ταυτα....* cod. (sed litteras *ταυτα* non esse certas scribit Lef.).

245 sq. *ἥξω* et *νυνὶ* supplevit vWil., *ἐγὼ* et *ἤδη* Lef.

247—250. Initiales litteras binas ternasve supplevit Lef.

251. *Sic distinxi; Lef. post *δύσμορ'* non interpunxit, versum puncto clausit.

τρεφόμενον ὄψει τοῦτον ἐν δούλου μέρει,
κοὐκ ἂν δικαίως ἀποθάνοις;

ΟΝΗΣΙΜΟΣ.

ὅπερ λέγω.

ΑΒΡΟΤΟΝΟΝ.

τὴν μητέρ' οὐδεὶς οἶδεν; ἀπέβαλεν δέ, φής,
Ταυροπολίοις αὐτόν;

ΟΝΗΣΙΜΟΣ.

παροινῶν γ', ὡς ἐμοὶ
τὸ παιδάριον εἶφ', ἀκόλουθος.

ΑΒΡΟΤΟΝΟΝ.

δηλαδὴ
εἰς τὰς γυναῖκας παννυχιζούσας μόνος
ἐνέπεσε· καὶ ἐμοῦ γὰρ παρούσης ἐγένετο
τοιοῦτον ἕτερον.

ΟΝΗΣΙΜΟΣ.

σοῦ παρούσης;

ΑΒΡΟΤΟΝΟΝ.

πέρυσι ναὶ
Ταυροπολίοις· ταῖς μὲν γὰρ ἔψαλλον κόραις,
αὐτὴ θ' ὁμοῦ συνέπαιζον οὐ λέγω τότε·
οὔπω γὰρ ἄνδρ' ἤδη τί ἔστι. πώμαλα,
μὰ τὴν Ἀφροδίτην.

---

253[b]. Onesimo dedit vWil., Syrisco tribuerat Lef. cum sq.[a].
254[a]. Habrotono dedi et scripsi signum interrogandi.
256. *Delevi punctum quod in fine versus scripserat Lef.
258. **ἐνέπεσε*] *ενε....* cod., *ἐνέδραμ'* Lef.
— *καὶ ἐμοῦ* (*κἀμοῦ*) vWil.] ......*υ* cod., *οὔποτ' ἐμοῦ* Lef. (invito metro).
260. *Ταυροπολίοις* Croiset] *ταυροπο.....*
— **ταῖς*] *.αι.* cod., *αἷς* Croiset.
— *μὲν*] supplevit Croiset.
261. **αὐτή θ' ὁμοῦ συνέπαιζον οὗ λέγω*] *αυτ.θ....... νεπαιζον·ουδ'εγω* cod., *αὐτόθι γε χορὸν ἔπαιζον·οὐδ' ἐγὼ* Croiset.
262. Ita distinxi, Lef. in parenthesi habet *οὔπω γάρ*.
— *ἤδη* et *πώμαλα* vHerwerden] *ᾔδειν* et *καὶ μάλα* Lef. cum cod.

*ΟΝΗΣΙΜΟΣ.*

τὴν δὲ παῖδά γ' ἥτις ἦν
οἶσθας;

*ΑΒΡΟΤΟΝΟΝ.*

πυθοίμην ἄν· παρ' αἷς γὰρ ἦν ἐγὼ
γυναιξί, τούτων ἦν φίλη.

*ΟΝΗΣΙΜΟΣ.*

πατρὸς τίνος
ἤκουσας;

*ΑΒΡΟΤΟΝΟΝ.*

οὐδὲν οἶδα. πλὴν ἰδοῦσά γε
γνοίην ἂν αὐτήν· εὐπρεπής τις, ὦ θεοί,
καὶ πλουσίαν ἔφασάν τιν'.

*ΟΝΗΣΙΜΟΣ.*

αὐτή ἐστιν τυχόν

*ΑΒΡΟΤΟΝΟΝ.*

οὐκ οἶδ'· ἐπλανήθη γὰρ μεθ' ἡμῶν οὖσ' ἐκεῖ,
εἶτ' ἐξαπίνης κλάουσα προστρέχει μόνη,
τίλλουσ' ἑαυτῆς τὰς τρίχας, καλὸν πάνυ
καὶ λεπτόν, ὦ θεοί, ταραντῖνον σφόδρα
ἀπολωλεκυῖ', ὅλον γὰρ ἐγεγόνει ῥάκος.

*ΟΝΗΣΙΜΟΣ.*

καὶ τοῦτον εἶχεν;

*ΑΒΡΟΤΟΝΟΝ.*

εἶχ' ἴσως, ἀλλ' οὐκ ἐμοὶ
ἔδειξεν. οὐ γὰρ ψεύσομαι.

*ΟΝΗΣΙΜΟΣ.*

τί χρὴ ποεῖν
ἐμὲ νῦν;

---

263. παῖδά γ' ἥτις vWil.] παιδ'ητισ cod.
273. ἀπολωλεκυῖ' vWil.] απολωλεκ.. cod., -κει Lef. (neglecto augmento).
274. εἶχεν Lef.] ..χεν cod.

*ΑΒΡΟΤΟΝΟΝ.*

ὅρα σὺ τοῦτ᾽· ἐὰν δὲ νοῦν ἔχῃς
ἐμοί τε πείθῃ, τοῦτο πρὸς τὸν δεσπότην
φανερὸν ποήσεις. εἰ γάρ ἐστ᾽ ἐλευθέρας
παιδός, τί τοῦτον λανθάνειν δεῖ τὸ γεγονός;

*ΟΝΗΣΙΜΟΣ.*

πρότερον ἐκείνην ἥτις ἐστίν, Ἁβρότονον,
εὕρωμεν· ἐπὶ τοῦτον δ᾽ ἴωμεν ὕστερον.

*ΑΒΡΟΤΟΝΟΝ.*

οὐκ ἂν δυναίμην, τὸν ἀδικοῦντα πρὶν σαφῶς
τίς ἐστιν εἰδέναι. φοβοῦμαι τοῦτο νῦν
μάτην τι μηνύειν πρὸς ἐκείνας ἃς λέγω.
τίς οἶδεν εἰ καὶ τοῦτον ἐνέχυρον λαβὼν
τότε τις παρ᾽ αὐτοῦ τῶν παρόντων ἀπέβαλεν
ἕτερος; κυβεύων τυχὸν ἴσως ἢ εἰς συμβολὰς
ὑπόθημ᾽ ἔδωκ᾽, ἢ συντιθέμενος περί τινος
περιείχετ᾽, εἶτ᾽ ἔδωκεν. ἕτερα μυρία
ἐν τοῖς πότοις τοιαῦτα γίγνεσθαι φιλεῖ.
πρὶν εἰδέναι δὲ τὸν ἀδικοῦντ᾽ οὐ βούλομαι
ζητεῖν ἐκείνην οὐδὲ μηνύειν ἐγὼ
τοιοῦτον οὐδέν.

*ΟΝΗΣΙΜΟΣ.*

οὐ κακῶς μέντοι λέγεις. —
τί οὖν ποήσει τις!

---

276. νοῦν Lef.] νυν cod.
277. δεσπότην Lef.] δεσποτ cod.
278. *ἐλευθέρας] ἐλευθερα cod. (-ρα.?), ἐλευθέρα Lef., dein virgulam scribens.
279. *γεγονός;] cod. συ[ (γε supra lineam), Lef. παιδός τι τοῦτον λανθάνειν δεῖ τό γε συ-. Vert. *Si infans est liberae puellae, cur dominus tuus rem ignoret?* Idem est versus exitus fr. 542[3].
280. ἐστίν vWil.] εστ᾽ cod. (ἐσθ᾽ Lef.).
281. *τοῦτον δ᾽ ἴωμεν ὕστερον] nimis audacter fortasse refinxi litteras traditas, cod. τουτωδ᾽εμοιουνυ....[, Lef. δ᾽ ἔμοιγ᾽ οὐ νῦν μέλει.
282. σαφῶς] supplevit Lef.
283—285. Ultimas litteras supplevit Lef., cod. ν.., λ..., λαβ..
287. *ἢ] inserui.
293. κακῶς Lef.] ..κω. cod.
294. ποήσει] -ση cod.[1].

*ΑΒΡΟΤΟΝΟΝ.*

θέασ', Ὀνήσιμε·
ἂν συναρέσῃ σοι τοὐμὸν ἐνθύμημ' ἄρα,
ἐμὸν ποήσομαι τὸ πρᾶγμα τοῦτ' ἐγώ·
τὸν δακτύλιον λαβοῦσα δείξω τουτονί.
εἴσειμι πρὸς ἐκεῖνον.

*ΟΝΗΣΙΜΟΣ.*

λέγ' ὃ λέγεις, ἄρτι γὰρ
νοῶ.

*ΑΒΡΟΤΟΝΟΝ.*

κατιδών μ' ἔχουσαν ἀνακρινεῖ πόθεν
εἴληφα. φήσω Ταυροπολίοις παρθένος
ἔτ' οὖσα, — τὰ ἐκείνῃ γενόμενα πάντ' ἐμὰ
ποουμένη· τὰ πλεῖστα δ' αὐτῶν οἶδ' ἐγώ.

*ΟΝΗΣΙΜΟΣ.*

ἄριστά γ' ἀνθρώπων!

*ΑΒΡΟΤΟΝΟΝ.*

ἐὰν δ' οἰκεῖον ᾖ
αὐτῷ τὸ πρᾶγμ', εὐθὺς μάλ' ἥξει φερόμενος
ἐπὶ τὸν ἔλεγχον, καὶ μεθύων γε νῦν ἐρεῖ
πρότερος ἅπαντα καὶ προπετῶς. ἃ δ' ἂν λέγῃ,
προσομολογήσω, τοῦ διαμαρτεῖν μηδὲ ἓν
προτέρα λέγουσ'.

*ΟΝΗΣΙΜΟΣ.*

ὑπέρευγε, νὴ τὸν Ἥλιον!

*ΑΒΡΟΤΟΝΟΝ.*

τὰ κοινὰ ταυτὶ δ' ἀκκιοῦμαι τῷ λόγῳ,

---

295. ἐνθύμημ' Lef.] ..θυμημ' cod.
296. πρᾶγμα τοῦτ' Lef.] πρα..ατ.υτ' cod.
297. λαβοῦσά Lef.] λαβο..α cod.
— *δείξω] τεισω cod., τ' εἴσω Lef.
298 sq.* = Men. fr. 182 Kock (cuius prior pars hactenus legi non potuit). Fugit hoc Lefeburium.
301. *τὰ] τοτ' cod., τότ' Lef., τά τ' vWil.; in archetypo τ'ταεκεινηι fuisse arbitror.
304. *μάλ'] deest in cod.; Lef. πρᾶγμά γ' scripsit.

τοῦ μὴ διαμαρτεῖν· „ὡς ἀναιδὴς ἦσθα καὶ
ἰταμός τις!“

*ΟΝΗΣΙΜΟΣ.*

εὖγε!

*ΑΒΡΟΤΟΝΟΝ.*

„κατέβαλες δέ μ' ὡς σφόδρα!
ἱμάτια δ' οἷ' ἀπώλεσ' ἡ τάλαιν' ἐγώ!“
φήσω. πρὸ τούτου δ' ἔνδον αὐτὸ βούλομαι
λαβοῦσα κλαῦσαι καὶ φιλῆσαι καὶ πόθεν
ἔλαβεν ἐρωτᾶν τὴν ἔχουσαν.

*ΟΝΗΣΙΜΟΣ.*

Ἡράκλεις!

*ΑΒΡΟΤΟΝΟΝ.*

τὸ πέρας δὲ πάντων „παιδίον τοίνυν“ ἐρῶ
„ἤδη γεγονός σοι“ — καὶ τὸ νῦν εὑρημένον
δείξω.

*ΟΝΗΣΙΜΟΣ.*

πανούργως καὶ κακοήθως, Ἀβρότονον!

*ΑΒΡΟΤΟΝΟΝ.*

ἂν δ' ἐξετασθῇ ταῦτα καὶ φανῇ πατὴρ
ὢν οὗτος αὐτοῦ, τὴν κόρην ζητήσομεν
κατὰ σχολήν.

*ΟΝΗΣΙΜΟΣ.*

ἐκεῖνο δ' οὐ λέγεις, ὅτι
ἐλευθέρα γίγνει σύ· τοῦ γὰρ παιδίου
μητέρα σε νομίσας λύσετ' εὐθὺς δηλαδή.

*ΑΒΡΟΤΟΝΟΝ.*

οὐκ οἶδα· βουλοίμην δ' ἄν.

*ΟΝΗΣΙΜΟΣ.*

οὐ γὰρ οἶσθα σύ; —

---

310. *ὡς*] *ὥσ*<*τ*>' Lef., correxit vWil.
311. Initio versus *καὶ* del. Lef.
— *σφόδρα* Lef.] *σφοδραν* cod.
312—320. Singulorum versuum initio duas vel tres litteras supplevit Lef.

ἀλλ' οὐ χάρις τις, Ἀβρότονον, τούτων ἐμοί;

ΑΒΡΟΤΟΝΟΝ.

νὴ τὼ θεώ· πάντων γ' ἐμαυτῆς αἴτιον
ἡγήσομαι τούτων σ'.

ΟΝΗΣΙΜΟΣ.

ἐὰν δὲ μηκέτι
ζητῇς ἐκείνην ἐξεπίτηδες, ἀλλ' ἐᾷς
παρακρουσαμένη με, πῶς τὸ τοιοῦθ' ἕξει;

ΑΒΡΟΤΟΝΟΝ.

τάλαν!
τίνος ἕνεκεν; παίδων ἐπιθυμεῖν σοι δοκῶ;
ἐλευθέρα μόνον γενοίμην! ὦ θεοί,
τοῦτον λάβοιμι μίσθον ἐκ τούτων!

ΟΝΗΣΙΜΟΣ.

λάβοις!

ΑΒΡΟΤΟΝΟΝ.

οὐκοῦν συναρέσκει σοι;

ΟΝΗΣΙΜΟΣ.

συναρέσκει διαφόρως.
ἂν γὰρ κακοηθεύσῃ, μαχοῦμαί σοι τότε·
δυνήσομαι γάρ. ἐν δὲ τῷ παρόντι νῦν
ἴδωμεν εἰ τοῦτ' ἔστιν.

ΑΒΡΟΤΟΝΟΝ.

οὐκοῦν συνδοκεῖ;

ΟΝΗΣΙΜΟΣ.

μάλιστα.

ΑΒΡΟΤΟΝΟΝ.

τὸν δακτύλιον ἀποδίδου ταχύ.

ΟΝΗΣΙΜΟΣ.

λάμβανε.

---

325. οὐ] supplevit Lef.
326. ἐμαυτῆς...σ'] *ἐμαυτῇ σ' deleto altero σ'?
330. *Post ἕνεκεν addidi signum interrogandi.
— παίδων Lef.] .αιδ.ν cod.
333. *συναρέσκει σοι] cod. συμ..ε....οι, Lef. σὺ μαχεῖ γ' ἐμοί.

*ΑΒΡΟΤΟΝΟΝ.*

φίλη Πειθοῖ, παροῦσα σύμμαχος,
ἐκεῖ κατορθοῦν τοὺς λόγους οὓς ἂν λέγω.

(Anulo ab Onesimo accepto Habrotonon in aedes abit.)

## SCENA QUARTA.

### Onesimus solus.

*ΟΝΗΣΙΜΟΣ.*

τοπαστικὸν τὸ γύναιον! ὡς ᾔσθηθ' ὅτι
κατὰ τὸν ἔρωτ' οὐκ ἔστ' ἐλευθερίας τυχεῖν,
ἄλλως δ' ἀλύει, τὴν ἑτέραν πορεύεται
ὁδόν. ἀλλ' ἐγὼ τὸν πάντα δουλεύσω χρόνον,
λέμφος, ἀπόπληκτος, οὐδαμῶς προνοητικὸς
τὰ τοιαῦτα. παρὰ ταύτης δ' ἴσως τι λήψομαι
ἂν ἐπιτύχῃ· καὶ γὰρ δίκαιον. — ὡς κενὰ
καὶ διαλογίζομ' ὁ κακοδαίμων, προσδοκῶν
χάριν κομιεῖσθαι παρὰ γυναικός! μὴ μόνον
κακόν τι προσλάβοιμι! νῦν ἐπισφαλῆ
τὰ πράγματ' ἔσται τὰ περὶ τὴν κεκτημένην
ταχέως· ἐὰν γὰρ εὑρεθῇ πατρὸς κόρη
ἐλευθέρου μήτηρ τε τοῦ νῦν παιδὸς ὃς
γέγονεν, ἐκείνην λήψεται, ταύτην δέ τοι
τὴν ἡμετέραν χρήσται ἀπολείπειν οἰκίαν.
καὶ νῦν χαριέντως ἐκνενευκέναι δοκῶ

---

338. Verba *φίλη Πειθοῖ* = Men. fr. 981 Kock.

340. *τοπαστικὸν* vWil.] *τό γ' ἀστικὸν* Lef.

— **ᾔσθηθ'*] *ερπεθ'* cod. (?), *ἑρπέθ'* Lef. (*angues* intellegens), dein *δή* in fine versus addidit metri causa.

344 sq. Delevit punctum post *προνοητικός* vHerwerden, scripsit post *τοιαῦτα*.

347—349* = Men. fr. 564 (*καίτοι λογίζομ'* et *χάριν παρὰ γ. κ.*), ubi accesserunt verba *καὶ κάλλιστ' ἔχει* (ad versum explendum adiecta) et versus *οὐκ ἐν γυναικὶ φύεται πιστὴ χάρις*, quem Euripidi tribuendum, certe non esse Menandri, senserat Dobree.

348. *μόνον* Lef.] *μον..* cod.

350 sq. *Scripsi *ἔσται* pro *ἐστί*, dein semicolon in versus fine delevi, scripsi post *ταχέως* vs. 351.

352. *παιδὸς ὅς* Lef.] *παιδο...* cod.

353 sq. *Addidi *δέ τοι* | *τὴν ἡμετέραν χρήσται* et *οἰκίαν*, ut loci sensum indicarem, non quo perhiberem ea ipsa fuisse in codice.

355. **δοκῶ*] cod. *μ....*, sed *μ* non certum esse scribit Lef., ipse *με δεῖ* scribens.

τὸ μὴ δι' ἐμοῦ ταυτὶ κυκᾶσθαι. χαιρέτω
τὸ πολλὰ πράττειν! ἂν δέ τις λάβῃ μ' ἔτι
περιεργασάμενον ἢ λαλήσαντ', ἐκτεμεῖν
δίδωμ' ἐμαυτοῦ τοὺς ὀ . . . δόντας.

(Prodit Smicrines.)

οὑτοσὶ
τίς ἐσθ' ὁ προσιών; Σμικρίνης ἀναστρέφει
ἐξ ἄστεως πάλιν ταρ . . . . ωσε . ων
αὖθις· πέπυσται τὰς αλ . . . . . . . . . . ισ
παρά τινος οὗτος; ἐκποδὼν δὲ βούλομαι
ποεῖν ἐμαυτὸν . . . . . . . . . . . . . . . . . . ειν
πρ . . . . . . . . . . . . . . . . . . . . . . . . . . με δὲ
. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . υ

Initium folii efficiunt versus 358--366; in quorum dorso, post lacunam igitur 27 fere versuum, leguntur sequentia:

οὐδεὶς . . . . . . . . . . ἐχθρὸς ὑμῖν : ποικίλον
ἄριστον ἀριστῶμεν· ὢ τρισάθλιος
ἐγὼ κατὰ πάντα! νῦν μὲν οὖν οὐκ οἶδ' ὅπως
δύσκολον . . . . . . . . . . . . . . κ . ος, ἀλλ' ἐὰν πάλιν
. . . . . . . . . . . . . . . . . . . . . . . μαγείρου . . τύχῃ
. . . . . . . . . . . . . . . . . . . . . . . εκαλειτ' εἰς μακαρίας
. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . ς τινος.

---

356. χαιρέτω Lef.] χαιρε. cod.
357. τὸ πολλὰ vWil.] ....λλα cod., τὰ δ' ἄλλα Lef.
— μ' ἔτι Lef.] μ.... cod., μέ τι mavult vWil.
358—373. E duobus fragmentis (N et T apud Lef.) concinnandos et huc referendos esse vidit vWil.
358. ἐκτεμεῖν vWil.] εκτεμεισ cod.
359. Ante οὑτοσὶ vWil. metri causa dubitanter delevit ἀλλ'. Equidem servato ἀλλ' tentavi *νεφρούς, in archetypo fuisse $\overset{\text{ορχεισ}}{\text{νεφρουσ}}$ suspicatus (cf. Philippid. fr. 3); sed nimis incerta haec coniectura.
362. αὖθις] αυτισ cod.
— πέπυσται vWil.] πεπ..ται cod.
363. ἐκποδὼν δὲ βούλομαι vWil.] εκ........ ουλομαι cod.
364. ἐμαυτὸν vWil.] ε... cod.
368. *ἀριστῶμεν· ὢ] αρι....ω cod., ἀριστήσομεν· ὁ vWil.
369. πάντα.νῦν vWil.] πα....υν cod.

Aliud fragmentum unum folium sive duas paginas implens. Adsunt Habrotonon infantulum tenens et Sophrone.

ΑΒΡΟΤΟΝΟΝ.

ἔξειμ' ἔχουσα. κλαυθμυρίζεται, τάλαν!
πάλαι γὰρ οὐκ οἶδ' ὅ τι κακὸν πέπονθέ μοι

ΣΩΦΡΟΝΗ.

τίς ἂν θεῶν τάλαιναν ἐλεήσειέ με;

ΑΒΡΟΤΟΝΟΝ.

ὦ φίλτατοι . . . . . . . . . ειμι . . . . ρα
καὶ . . . . . . . . . . . . . . . . . . . . πορεύσομαι
. . . . . . . . . . . . . . ἔμεινεν ἐμὲ καλῶς σε, παῖ,
. . . . . . . . . . . . . . . . . . . . . ἐκεῖ σύ μοι.

ΣΩΦΡΟΝΗ.

. . . . στιν . . ω . . λ ὦ χαῖρε φιλτάτη
γ . . . . . . . . . . . . . . . . . . . ρομοιτ . . . . . . . . .

ΑΒΡΟΤΟΝΟΝ.

λέγε μοια λέγεις πέρυσι . . . . . . . . . . . .
τοῖς Ταυροπολίοις ἐπι . . . . . . . . . . . . .

ΣΩΦΡΟΝΗ.

γύναι, πόθεν ἔχεις, εἰπέ μοι, τὸ παιδίον
λαβοῦσ';

ΑΒΡΟΤΟΝΟΝ.

ὁρᾷς τι, φιλτάτη, σοι γνώριμον
ὧν τοῦτ' ἔχει; μηδέν με δείσῃς, ὦ γύναι.

ΣΩΦΡΟΝΗ.

οὐκ ἔτεκες αὐτὴ τοῦτο;

---

374. κλαυθμυρίζεται Lef.] κλαυμυριζεται cod.
375. *Delevi post γὰρ semicolon.
376. *τάλαιναν ἐλ.] ταλαινα επ[ελ]εησειε cod.
383. μοια] μαῖα?
385. *τὸ παιδίον] audacius sic scripsi; in cod. τον$^{δα}$...... esse scribit Lef.; vHerwerden τὸν παῖδα σύ. Etiam τουτὶ βρέφος recte haberet.
386 sq. γνώριμον | ὧν Lef.] γνωριμ . . | . . cod.
388 ἔτεκες Lef.] . . εκεσ cod.

ΑΒΡΟΤΟΝΟΝ.

προσεποησάμην,
οὐχ ἵν' ἀδικήσω τὴν τεκοῦσαν, ἀλλ' ἵνα
κατὰ σχολὴν εὕροιμι. νῦν δ' —

ΣΩΦΡΟΝΗ.

εὕρηκας οὖν;

ΑΒΡΟΤΟΝΟΝ.

ὁρῶ γὰρ ἣν καὶ τότε.

ΣΩΦΡΟΝΗ.

τίνος δ' ἐστὶν πατρός;

ΑΒΡΟΤΟΝΟΝ.

Χαρισίου.

ΣΩΦΡΟΝΗ.

τοῦτ' οἶσθ' ἀκριβῶς, φιλτάτη;
Χαρισίου τοῦδ';

ΑΒΡΟΤΟΝΟΝ.

οὗ γε τὴν νύμφην ὁρῶ.

ΣΩΦΡΟΝΗ.

τὴν ἔνδον οὖσαν;

ΑΒΡΟΤΟΝΟΝ.

ναιχί.

ΣΩΦΡΟΝΗ.

μακαρία γύναι!
θεῶν τις ὑμᾶς ἠλέησε.

ΑΒΡΟΤΟΝΟΝ.

τὴν θύραν
τῶν γειτόνων τις ἐψόφηκεν ἐξιών·
εἴσω λαβοῦσά μ' ὡς σεαυτὴν εἴσαγε,
ἵνα καὶ τὰ λοιπὰ πάντα μου πύθῃ σαφῶς.

(Abeunt Habrotonon et Sophrone in aedes Smicrinis. — E Charisii aedibus prodit Onesimus.)

---

393—395. *Sic distribui, et supplevi vs. 393 verba *Χαρισίου τοῦδ'; Lef. (Croiset) ΑΒΡ. τοῦτ' οἶδα, μάλιστ' ἐξ οὗ γε — οὖσαν. ΣΩ. ναιχί. ΑΒΡ. μακαρία — σαφῶς.
398. τὰ λοιπὰ vWil.] ταλλα cod. (τἄλλα Lef.).

## NOVA SCENA.

### Onesimus solus.

*ΟΝΗΣΙΜΟΣ.*

ὑπομαίνεθ' οὗτος! νὴ τὸν Ἀπόλλω, μαίνεται
ἐμάνη γ' ἀληθῶς· μαίνεται, νὴ τοὺς θεούς
τὸν δεσπότην λέγω Χαρίσιον. χολὴ
μέλαινα προσπέπτωκεν ἢ τοιουτονὶ
. . . αγαντ . . . . . . . . . . . . αλλογεγον[
πρὸς ταῖς θύραις γὰρ ἔνδον ἀρτίως πολὺν
χρόνον διακύπτων ἔμενε καὶ ἀκροώμενος.
ὁ πατὴρ δὲ τῆς νύμφης τι περιοργῶς πάνυ
ἐλάλει πρὸς ἐκείνην, ὡς ἔοιχ'· ὃ δ' ὡς πυκνὰ
ἤλλαττε χρώματ', ἄνδρες, οὐδ' εἰπεῖν καλόν.
„ὦ γλυκυτάτη“, δέ „τῶν λόγων οἵους λέγεις!“
ἀνέκραγε, τὴν κεφαλήν θ' ἅμ' ἐπάταξε σφόδρα
αὑτοῦ· πάλιν δὲ διαλιπών· „οἵαν λαβὼν
γυναῖχ' ὁ μέλεος ἠτύχηκα!“ τὸ δὲ πέρας,
ὡς πάντα διακούσας ἀπῆλθ' εἴσω ποτέ.
βρυχηθμὸς ἔνδον, τιλμός, ἔκστασις συχνή·
„ἐγὼ γὰρ ἀλιτήριος“, πυκνὸν πάνυ
ἔλεγεν, „τοιοῦτον ἔργον ἐξειργασμένος
αὐτὸς γεγονώς τε παιδίου νόθου πατήρ,
οὐκ ἔσχον οὐδ' ἔδωκα συγγνώμης μέρος
οὐθὲν ἀτυχούσῃ ταῦτ' ἐκείνῃ, βάρβαρος

---

400. ἐμάνη γ' Lef.] επεμανηγ cod., an *μανία ἔστ'?

402. τοιουτονὶ Lef.] τοιουτον. cod.

404 sq. In fine addidi *ως πολὺν et *ἔμενε καὶ ἀκροώμενος, Croiset συχνὸν ἦν et ἐνίοτε πανταχοῖ σκοπῶν (hoc metro invito), vWil. πολὺν ἐγὼ et ἐδυνάμην τὰ πάνθ' ὁρᾶν.

406. περιοργῶς πάνυ vWil.] περι[ cod., περὶ τοῦ παιδίου Croiset.

407. ὡς πυκνὰ] supplevit vWil., εὐθὺς ὡς Croiset.

410. *θ' ἅμ'] τ'αν cod., τ' ἂν Lef., quae particula quoniam hinc aliena, vWil. ἀνεπάταξε scripsit.

415. ἀλιτήριος] <ἔγωγ'>ἀλιτήριος Croiset; corr. Crusius.

416. *In fine versus delevi semicolon.

418. συγγνώμης Lef.] συγγν..η. cod.

— *μέρος] ποτὲ Lef.

ἀνηλεής τε!“ λοιδορεῖ τ' ἐρρωμένως
αὐτῷ βλέπει ϑ' ὕφαιμον ἠρεϑισμένος.
πέφρικ' ἐγὼ μέν· αὖός εἰμι τῷ δέει·
οὕτως ἔχων γὰρ αὐτὸν ἂν ἴδῃ μέ που
τὸν διαβαλόντα, τυχὸν ἀποκτείνειεν ἄν.
διόπερ ὑπεκδέδυκα δεῦρ' ἔξω λάϑρᾳ. —
καὶ ποῖ τράπωμαί γ'; εἰς τί βουλῆς; οἴχομαι,
ἀπόλωλα. — τὴν ϑύραν πέπληχεν ἐξιών.
Ζεῦ σῶτερ, εἴπερ ἐστὶ δυνατόν, σῷζέ με.
(Proripit se Onesimus. Ex aedibus prodit Charisius.)

## NOVA SCENA.

### Charisius solus.

ἐγώ τις ἀναμάρτητος, εἰς δόξαν βλέπων,
καὶ τὸ καλὸν ὅ τί ποτ' ἐστὶ καὶ ταἰσχρὸν σκοπῶν,
ἀκέραιος, ἀνεπίπληκτος αὐτὸς τῷ βίῳ!
εὖ μοι κέχρηται καὶ προσηκόντως πάνυ
τὸ δαιμόνιον! ἐνταῦϑ' ἔδειξ' ἄνϑρωπος ὤν!
ὦ τρισκακόδαιμον, καὶ μέγα φυσᾷς καὶ λαλεῖς;
ἀκούσιον γυναικὸς ἀτύχημ' οὐ φέρεις,
αὐτὸν δὲ δείξω σ' εἰς ὅμοι' ἐπταικότα.
καὶ ἐχρήσατ' αὐτή σοι τότ' ἠπίως· σὺ δὲ
ταύτην ἀτιμάζεις, ἐπιδειχϑήσει ϑ' ἅμα
ἀτυχὴς γεγονὼς καὶ σκαιὸς ἀγνώμων τ' ἀνήρ.
ἐναντί' εἶπεν οἷς σὺ διενόου τότε
πρὸς τὸν πατέρα! „κοινωνὸς ἥκειν τοῦ βίου,
τοῦ δ' ἀνδρὸς οὐ δεῖν τἀτύχημ' αὐτὴν φυγεῖν.“ —
ἆρ' εὐσεβής τις; σὺ δέ τις ὑψηλὸς σφόδρα

420. τε! λοιδορεῖ vWil.] τ' ἐλοιδόρει Lef. cum cod.
421. αὐτῷ vWil.] ..σω(?) cod., εἴσω Lef.
434. *μέγα] μεγαλα cod., quod servans Lef. del. καί, sed neque inutilis est haec particula et cf. fr. 302² (ubi item metro invito quidam scripsere μεγάλα) Eur. Iph. Aul. 125.
437. *ἐχρήσατ'] χρήσετ' Lef. cum cod.
440. *ἐναντί'] cod. ....γ' (an ....τι'?), Croiset proposuerat τἀναντία γ'.
441. πρὸς] supplevit Croiset.
442. *τοῦ δ' ἀνδρὸς] supplevi, κοινωνὸν Croiset.
443. ἆρ' εὐσεβής τις Croiset] ......ε.β...σ cod.; lectio dubia.

Aliud fragmentum (folii frustulum superius.)
Smicrinis ad Pamphilam verba esse haec videntur.

λω
χ . . . . . . τ' ηδετο μετὰ τ.[
οπ . . . . μενεισων Χαρισιω[
οἱ . . περ οἶσθα πιστός· οὐ γάρ ἐστι δὴ
ἑταιρίδιον τοῦτ' οὐδὲ τὸ τυχ[ὸν
υἱοῦ δηδε καὶ παιδάριον . . .[
ἐλεύθερος. πάξ. μὴ βλεπ[
καὶ πρῶτον αὐτὸν κατὰ μόν[ας
τὸν φίλτατον καὶ τὸν γλυκύτατ[ον

In dorso fragmenti, post lacunam igitur versuum fere 27, sequuntur haec:

]πειραθη[
]ε νὴ τὸν Ἀπόλλω[

ΧΑΡΙΣΙΟΣ.
(ad Onesimum?)

τί δέ με περισπᾷς ἱερόσυλ';

ΑΒΡΟΤΟΝΟΝ.

ἐμοὶ μάχου.

ΧΑΡΙΣΙΟΣ.

ἀφές ποτε!

ΑΒΡΟΤΟΝΟΝ.

τῆς γαμετῆς γυναικός ἐστί σου
τὸ παιδίον, οὐκ ἀλλότριον.

ΧΑΡΙΣΙΟΣ.

εἰ γὰρ ὤφελεν!

---

446. μενεισων] metro refragantur litterae, *μεν ἑκὼν?
447. οἱ.. περ] οἷόνπερ Lef.; contextus quoniam ignoratur, lacunam indicare malui.
449 δηδε] numeri corrupti; fortasse δὲ δή.
450. πάξ vHerwerden] δαξ cod., sed litteram δ non certam esse scribit Lef.; cf. Diphil. fr. 96.
451. μόνας] supplevit Crusius.
455. τί δέ με Lef.] .....ε cod.
456. *ἀφές ποτε] sic scripsi dubitanter (sed numeros abruptos ∪∪ | – in laude ponens potius), cod. .......τε (μτε Lef., sed litteram μ, quam non fert linguae indoles, certam non esse scribit). An *κατάρατε?
457. τὸ παιδίον οὐκ] supplevit Lef., ]....υκ cod.

*ΑΒΡΟΤΟΝΟΝ.*

ὄμνυμι τὴν Δήμητρα.

*ΧΑΡΙΣΙΟΣ.*

τίνα λόγον λέγεις;

*ΑΒΡΟΤΟΝΟΝ.*

ὄντως ἀληθῆ.

*ΧΑΡΙΣΙΟΣ.*

Παμφίλης τὸ παιδίον
θηὑρημένον ἐστίν;

*ΑΒΡΟΤΟΝΟΝ.*

καὶ σὸν ὁμοίως.

*ΧΑΡΙΣΙΟΣ.*

Παμφίλης;
Ἀβρότονον, ἱκετεύω σε, μή μ' ἀναπτέρου!

---

Aliud fragmentum unum folium sive duas paginas implens.

σώφρονα. τοιαυτησὶ γὰρ οὐκ ἀπέσχετ' ἂν
ἐκεῖνος. εὖ τοῦτ' οἶδ', ἐγὼ δ' ἀφέξομαι.

(Prodeunt Smicrines, Sophrone, uxor Smicrinis?)

## NOVA SCENA.

Smicrines, Sophrone, uxor Smicrinis?

*ΣΜΙΚΡΙΝΗΣ.*

ἂν μὴ κατάξω τὴν κεφαλήν σου, Σωφρόνη,
κάκιστ' ἀπολοίμην! νουθετήσεις καὶ σύ με;
προπετῶς ἀπάγω τὴν θυγατέρ', ἱερόσυλε γραῦ.
ἀλλ' ἦ περιμένω καταφαγεῖν τὴν προῖκά μου

---

458. ὄμνυμι] recepi supplementum quod poscit Lef., qui tamen in codice esse ]φ. scribit.

459. *ὄντως] supplevi, πάνυ μὲν Lef.

460. *θηὑρημένον ἐστίν] cod. ]ιν;, Lef. τἀληθές ἐστιν.

— ὁμοίως Lef.] ομο..σ cod.

461. Supplevit Lef., cod. ]νον ικε.ευωσεμ...αναπ.ερου.

467. ἀλλ' ἦ vWil.] αλλα cod.

— περιμένω] περιμενῶ Lef.; est subi. deliberantis.

*τὸν χρηστὸν αὐτῆς ἄνδρα, καὶ λόγους λέγω*
*περὶ τῶν ἐμαυτοῦ; ταῦτα συμπείθεις με σύ;*

SMICRINIS UXOR?

*οὐκ ὀξυλαβῆσαι κρεῖττον.*

*ΣΜΙΚΡΙΝΗΣ.*

*οἰμώξει μακρὰ*
*ἂν ἀντιλαλῇς τι! κρίνομαι πρὸς Σωφρόνην.*
*μετάπεισον αὐτὴν ὅταν ἴδῃς. οὕτω τί μοι*
*ἀγαθὸν γένοιτο, Σωφρόνην γὰρ οἴκαδε*
*ἀπιών — τὸ τέλμ᾽ εἶδες παριοῦσ᾽; ἐνταῦθά σε*
diviti, quae filium desiderabat. Aliquot annis praeterlapsis Glyceram adultam Polemoni militi Corinthio dedit concubinam; dein, cum in eo esset ut moreretur, puellae dixit non veram se esse eius matrem, fratrem autem esse Moschionem iuvenem in aedibus proximis viventem; et dedit Glycerae monumenta quaedam, ut, si fors tulisset, a parentibus posset agnosci.

Brevi post Moschion iuvenis laute et liberius vivens Glyceram puellam venustam, quam saepius admirans fuerat intuitus, sub vesperam invenit ante Polemonis aedes stantem, et genio indulgens amplexus est. Illa non refugere, fratrem videlicet esse sciens; sororem eius se esse dicere ei nondum potuerat aut voluerat. Supervenit Polemon; qui furore incensus, cum in iuvenis amplexu haerentem eam vidisset, ense eius crines recidit. Ipse Moschion raptim effugit irati militis minas.

Glycera tantam contumeliam indignata, quippe plane insons, ex aedibus Polemonis aufugit cum Doride ancilla, mox a Myrrhina Moschionis matre adoptiva comiter est recepta; verum huic dixisse eam statuamus necesse est.

Interim Polemon meretriculam sibi sumsit Habrotonon; sed quam primum eum huius pertaesum est: Glyceram desideravit, iracundiae vehementer poenituit. Audito autem in Myrrhinae eam aedibus degere, vi eas expugnare voluit, ut moecho puellam eriperet; sed mox a Pataeco amico seniore ad saniora consilia revocatus est. Petente Polemone Pataecus adiit Glyceram, ut eam exoraret; qui dum cum ea colloquitur, suspicari coepit eam esse filiam suam ante multos annos amissam, et mox, cum monumenta illa inspiciendi ei facta esset facultas, laetus eam agnovit. In gratiam dein rediit puella cum milite homine minime malo, magnaque dote a patre ornata iustas nuptias cum Polemone iniit.

Moschionem autem suum fratrem esse laeta iam dixit Pataeco, Polemoni, cui non; nempe non iam erat cur fratrem puderet sororis: non concubina erat militis humili loco nata, sed viri Praedivitis filia. Agnitus igitur a Pataeco Moschion dixit patri se Philini cuiusdam filiam amare. Haec puella matrimonio

ei iuncta est, et sic laetum exitum habuit fabula duabus cenis nuptialibus instructis.

Pataecus nomen cognitum est ex Herodoto [1]) dicebantur enim Pataeci „*θεοὶ Φοίνικες, οὓς ἱστᾶσι κατὰ τὰς πρῴρας τῶν νεῶν*" [2]). Dives igitur peregrinus, non Graecus, videtur intellegendus esse, quo ducunt etiam versus 248 sq. Quamquam non inauditum fuit hoc nomen inter cives Atticos [3]).

---

1) Herodot. III 37.
2) Hesych. s. v.; cf. fr. com. adesp. 423.
3) Cf. Kirchner Prosopogr. n⁰ 11676 sqq.

# IV.

## ΣΑΜΙΑ.

---

Nomen coniecturae Lefeburii debetur, qui Chrysidis puellae Samiae in fragmentis his magnas partes esse observavit [1], Samiam autem fabulam Menandream aliunde esse cognitam.

Desunt argumentum, index personarum, initium quinquaginta fere versuum, nisi, quod suspicor, plura folia interciderunt.

*ΔΗΜΕΑΣ.*

οστ[
ημαι . [
λαβὼν ἐπαγα[
ὡς γὰρ τάχιστ' εἰσῆλθον, ὑπερεσπουδακὼς
τὰ τοῦ γάμου πράττειν, φράσας τὸ πρᾶγμ' ἁπλῶς
τοῖς ἔνδον ἐκέλευσ' εὐτρεπίζειν πάνθ' ἃ δεῖ,
καθαρὰ ποεῖν, πέττειν, ἐνάρχεσθαι κανοῦν.
ἐγίγνετ' ἀμέλει πάνθ' ἑτοίμως, τὸ δὲ τάχος
τῶν πραττομένων ταραχήν τιν' αὐτοῖς ἐνεπόει,
ὅπερ εἰκός. ἐπὶ κλίνης μὲν ἔρριπτ' ἐκποδὼν
τὸ παιδίον κεκραγός, οἳ δ' ἐβόων ἅμα·

---

[1]) Cf. vs. 50, 139.

3. ε̣παγα] verbi ἐπαγανακτεῖν aliquam formam hic scriptam fuisse suspicatur Lef., probabilius Crusius ἐπαγαγών τε, sed etiam ἐπ' ἀγαθῷ aliaque fingi possunt.

10. Post ἔρριπτ'(ο) Lef. delevit ευθυσ.

„ἄλευρ', ὕδωρ, ἔλαιον ἀπόδος, ἄνθρακας.“
καὐτὸς διδοὺς τούτων τι καὶ συλλαμβάνων
εἰς τὸ ταμιεῖον ἔτυχον εἰσελθών, ὅθεν
πλείω προαιρῶν καὶ σκοπούμενός γ' ἀεὶ
οὐκ εὐθὺς ἐξῆλθον. καθ' ὃν δ' ἦν χρόνον ἐγὼ
ἐνταῦθα, κατέβαιν' ἀφ' ὑπερῴου τις γυνὴ
ἄνωθεν εἰς τοὔμπροσθε τοῦ ταμιειδίου
οἴκημα. τυγχάνει γὰρ ἱστεών τις ὤν,
ὥσθ' ἥ τ' ἀνάβασίς ἐστι διὰ τούτου τό τε
ταμιεῖον ἡμῖν. τοῦ δε Μοσχίωνος ἦν
τίτθη τις αὕτη πρεσβυτέρα, γεγονυῖ' ἐμὴ
θεράπαιν', ἐλευθέρα δὲ νῦν. ἰδοῦσα δὲ
τὸ παιδίον κεκραγὸς ἠμελημένον
ἐμέ τ' οὐδὲν εἰδυῖ' ἔνδον ὄντ', ἐν ἀσφαλεῖ
εἶναι νομίσασα τοῦ λαλεῖν, προσέρχεται,
καὶ ταῦτα δὴ τὰ κοινά· „φίλτατον τέκνον“
εἰποῦσα καί· „μέγ' ἀγαθόν! ἡ μάμμη δὲ ποῦ;“
ἐφίλησε, περιήνεγκεν· ὡς δ' ἐπαύσατο
κλᾶον, πρὸς αὑτήν φησιν· „ὦ τάλαιν' ἐγώ,
πρῴην τοιοῦτον ὄντα Μοσχίων' ἐγὼ
αὐτὸν ἐτιθηνούμην ἀγαπῶσα, νῦν δ', ἐπεὶ
παιδίον ἐκείνου γέγονεν, ἄλλη καὶ το
] . καὶ
] . . ναι
] . . θεραπαινιδίῳ τινὶ
ἔξωθεν εἰστρέχοντι· „λοῦσατ', ὦ τάλαν,

---

14. εἰς τὸ] supplevit Lef.

15. γ' ἀεὶ vHerwerden] εσω cod., sed litterae dubiae; γ' ἔσω Croiset; an *καί τι καὶ σκοπούμενος deleto εσω?

18. ταμιειδίου Crusius] ταμειίου Lef. cum cod. vitio manifesto, vHerwerden ἐργαστηρίου, mihi in mentem venit *οὗπερ ἦν ἐγώ.

— In fine versus punctum del. vWil., post οἴκημα scripsit.

26. Virgulam post νομίσασα delevit post λαλεῖν scripsit vWil.

28. Sic distinxit Crusius, „καὶ μέγ' ἀγαθόν.“ ἡ μάμμη δέ που Lef.

31. Μοσχίων' vWil.] pro vocativo habebat Lef.

32. ἐπεὶ] supplevit Lef.

33. γέγονεν, ἄλλη vWil.] γεγονε...λη cod.

*τὸ παιδίον“, φησίν· „τί τοῦτ'; ἐν τοῖς γάμοις*
*τοῖς τοῦ πατρὸς τὸν μικρὸν οὐ θεραπεύετε;“*
*εὐθὺς δ' ἐκείνη· „δύσμορ', ἡλίκον λαλεῖς,“*
*φησ'· „ἔνδον ἐστὶν αὐτός.“ — „οὐ δήπου γε! ποῦ;“*
*— „ἐν τῷ ταμιείῳ“ — καὶ παρεξήλλαξέ τι·*
*„αὐτὴ καλεῖ, τίτθη, σε, καὶ βάδιζε καὶ*
*σπεῦδ'. — οὐκ ἀκήκο' οὐδέν· εὐτυχέστατα.“*
*εἰποῦσ' ἐκείνη δ'· „ἣ τάλαινα τῆς ἐμῆς*
*λαλιᾶς!“ ἀπῆλθεν ἐκποδὼν οὐκ οἶδ' ὅποι.*
*καὶ ἐγὼ προῆλθον τοῦτον ὅνπερ ἐνθάδε*
*τρόπον ἀρτίως εἰσῆλθον, ἡσυχῇ πάνυ,*
*ὡς οὔτ' ἀκούσας οὐδὲν οὔτ' ᾐσθημένος·*
*αὐτὴν δ' ἔχουσαν αὐτὸ τὴν Σαμίαν ὁρῶ*
*ἔξω διδοῦσαν τιτθίον παριὼν ἅμα.*
*ὥσθ' ὅτι μὲν αὐτῆς ἐστι τοῦτο, γνώριμον*
*εἶναι, πατρὸς δ' ὅτου ποτ' ἐστίν, εἴτ' ἐμοῦ*
*εἴτ' — οὐ λέγω δ', ἄνδρες, πρὸς ὑμᾶς τοῦτ' ἐγὼ*
*οὔθ' ὑπονοῶ, τὸ πρᾶγμα δ' εἰς μέσον φέρω*
*ἅ τ' ἀκήκο' αὐτός, οὐκ ἀγανακτῶν οὐδέπω.*
*σύνοιδα γὰρ τῷ μειρακίῳ, νὴ τοὺς θεούς,*
*καὶ κοσμίῳ τὸν πρότερον ὄντα χρόνον ἀεὶ*
*καὶ περὶ ἔμ' ὡς ἔνεστιν εὐσεβεστάτῳ.*
*πάλιν δ', ἐπειδὰν τὴν λέγουσαν καταμάθω*
*τίτθην ἐκείνου πρῶτον οὖσαν, εἶτ' ἐμοῦ*
*λάθρᾳ λέγουσαν, εἶτ' ἀποβλέψω πάλιν*
*εἰς τὴν ἀγαπῶσαν αὐτὸ καὶ βεβιασμένην*
*ἐμοῦ τρέφειν ἄκοντος, ἐξέστηχ' ὅλως.*

(Prodeunt Parmeno et coquus cum famulo, ollis onusti ambo; etiam Parmeno manu tenet lancem.)

---

42. *τι·„* vWil.] *·„τί;* Lef.
43. *,τίτθη,* vWil.] sine virgulis Lef.; vert. *ipsa domina* (*Chrysis*), *o nutrix, te vocat.*
44. Sic distinxit Crusius; Lef. totum versum nutricis esse putabat.
46. *ὅποι*] supplevit Lef.
48. *εἰσῆλθον* Lef.] *ἐξῆλθον* cod.
52. *αὐτῆς ἐστι τοῦτο* vWil.] *ἐστι τοῦτο αὐτῆς* Lef. cum cod.
55. *οὔθ'*] *ὅ γ'* vWil.

ἀλλ' εἰς καλὸν γὰρ τοῦτον εἰσιόνθ' ὁρῶ
τὸν Παρμένοντ' ἐκ τῆς ἀγορᾶς· ἐατέον
αὐτὸν παραγαγεῖν ἐστι τοῦτον οἴκαδε.

## NOVA SCENA.

Demea, Parmeno, Coquus.

*ΠΑΡΜΕΝΩΝ.*

μάγειρ', ἔτι λαλῶν περιπατεῖς; οὐκ οἶδα σὺ
ἐφ' ὅ τι μαχαίρας περιφέρεις, ἱκανὸς γὰρ εἶ
λαλῶν κατακόψαι παντάπασιν ἐμέ γ'.

*ΜΑΓΕΙΡΟΣ.*

ἴθι,
ἰδιῶτ'! ἐγώ;

*ΠΑΡΜΕΝΩΝ.*

δοκεῖς γέ μοι, νὴ τοὺς θεούς

*ΜΑΓΕΙΡΟΣ.*

εἰ πυνθάνομαι πόσας τραπέζας μέλλετε
ποεῖν, πόσαι γυναῖκές εἰσ', ὁπηνίκα
ἔσται τὸ δεῖπνον, εἰ δεήσει προσλαβεῖν
τραπεζοποιόν, εἰ κέραμός ἐστ' ἔνδοθεν
ὑμῖν ἱκανός, εἰ τοὐπτάνιον κατάστεγον,
εἰ τἄλλ' ὑπάρχει πάντα;

*ΠΑΡΜΕΝΩΝ.*

κατακόπτεις γέ με,
εἰ λανθάνει σε, φίλτατ', εἰς περικόμματα,
οὐχ ὡς ἔτυχεν.

---

65. *εἰσιόνθ'] ἐξιόνθ' Lef. cum cod., sed. εξι litteras dubias esse scribit. Quid poeta dederit e versu 80 efficitur.

66. *ἀγορᾶς· ἐατέον] .......τεον cod., θύρας·..τέον (adiectivum in -τέον poscens) Lef.

67. *τοῦτον οἴκαδε] του[ cod.

68. *ἔτι λαλῶν περιπατεῖς;] supplevi ex. causa; cod. ετ.............

69. περιφέρεις Lef.] περιφ..... cod.

70. *παντάπασιν ἐμέ γ'. — ἴθι] πανταπ.......θ.. cod. (sed ε incerta).

71. *Coquo dedi vocem ἐγώ, Lef. cum cod. Parmenoni; verba autem δοκεῖς — θεούς dedi Parmenoni, Lef. cum cod. coquo.

— μοι νὴ τοὺς θεούς Crusius] μ..........υσ cod., Croiset ·μάτην δὲ ποῶ λόγους, coquo haec dans (vocem ἐγώ autem Parmenoni).

72. τραπέζας Lef.]......ασ cod.; cf. Men. fr. 518 [2].

73. πόσαι γυναῖκές εἰσ' Lef.] ποσα...ναικεσε.σ cod.

*ΜΑΓΕΙΡΟΣ.*

*οἴμωζε.*

*ΠΑΡΜΕΝΩΝ.*

*καὶ σὺ τοῦτό γε*
*παντὸς ἕνεκ'· ἀλλὰ παράγετ' εἴσω.*

(Coquus eiusque famulus ad aedes accedunt.)

*ΔΗΜΕΑΣ.*

*Παρμένων!*

*ΠΑΡΜΕΝΩΝ.*

*ἐμέ τις καλεῖ;*

*ΔΗΜΕΑΣ.*

*ναί, ναιχί.*

*ΠΑΡΜΕΝΩΝ.*

*χαῖρε, δέσποτα.*

*ΔΗΜΕΑΣ.*

*τὴν λοπάδα καταθεὶς ἧκε δεῦρ'.*

*ΠΑΡΜΕΝΩΝ.*

*ἀγαθῇ τύχῃ.*

*ΔΗΜΕΑΣ.*

*τοῦτον μὲν οὐδὲν ὡς ἐγᾦμαι λανθάνει*
*τὸν ἄνδρ' ἔσω πραττόμενον ἔργον, ἔστι γὰρ*
*περίεργος εἴ τις ἄλλος. ἀλλὰ τὴν θύραν*
*προϊὼν πέπληχε.*

(Ad ostium et ipse accedens:)

*δίαγε, Χρυσί, πάνθ' ὅσ' ἂν*
*ὁ μάγειρος αἰτῇ, τὴν δὲ γραῦν φυλάττετε*
*ἀπὸ τῶν κεραμίων.*

(Intrant aedes coquus eiusque famulus.)

---

81. *ναί] supplevi, σὲ vWil.
82. λοπάδα] supplevit vWil. (incerta sane coniectura, sed cf. vs. 150).
83—88ª. Demeae tribuit omnia vWil.; in cod. post vs. 83 et 86ª est:
83 sq. Sic supplevit vWil., cod. του..........δεν (Croiset τούτων σε μὲν οὐδέν) et το........ραττομενον.
85. τὴν] supplevit Lef.

ΠΑΡΜΕΝΩΝ.

πρὸς ϑεῶν, τί δεῖ ποεῖν,
δέσποτα;

ΔΗΜΕΑΣ.

τί δεῖ ποεῖν σε; — δεῦρ' ἀπὸ τῆς ϑύρας.
ἔτι μικρόν.

ΠΑΡΜΕΝΩΝ.

ἤν.

ΔΗΜΕΑΣ.

ἄκουε δή νυν, Παρμένων.
ἐγώ σε μαστιγοῦν, μὰ τοὺς δώδεκα ϑεούς,
οὐ βούλομαι διὰ πολλά.

ΠΑΡΜΕΝΩΝ.

μαστιγοῦν; τί γὰρ
πεπόηκα;

ΔΗΜΕΑΣ.

συγκρύπτεις τι πρὸς τὸν δεσπότην.

ΠΑΡΜΕΝΩΝ.

ἐγώ; μὰ τὸν Ἀπόλλω, μὰ τὸν Διόνυσον, οὐ
μὰ τὸν Δία τὸν σωτῆρα, μὰ τὸν Ἀσκληπιόν!

ΔΗΜΕΑΣ.

παῦ, μηδὲν ὄμνυ'.

ΠΑΡΜΕΝΩΝ.

οὐ γὰρ εἰκάζεις καλῶς!
ἢ μήποτ' ἆρ' . . . !

---

89. σε] addidit vWil., ἄγε Lef.
— τῆς ϑύρας Lef.] τη.....ασ cod., an *ἴϑ' ἀπὸ τῆς οἰκίας (non addito σε)?
— Post ϑύρας punctum scripsit vWil.
90. δή Lef.] δει cod.
91 sq. In fine Lef. supplevit ϑεούς et τί γὰρ.
93. *τὸν δεσπότην] supplevi, .η[ cod., sed η non certa est littera; quae si recte habeat, sequendus sit vWil. μ'· ἤσϑημ' ἐγώ supplens.
94. Ἀπόλλω, μὰ τὸν Διόνυσον, οὐ Nicole] ΔιονυσονματονΑπ[ cod.
95. Ἀσκληπιόν Lef.] α[ cod. (littera α incerta).
96. παῦ] formam monosyllabam commemoravit Aelius Dionysius apud Eust. 1428, 26; in Aristophan. Eq. 821 coniectura invehere conati sunt Elmsley Dindorf An *πάξ legendum? Cf. Discept 450.
96[b] sq.[a] *Tribui Parmenoni.
96. *καλῶς] supplevi.
97[a]. Sic interpunxit vWil., Lef. ἦ μήποτ' ἆρ';

ΔΗΜΕΑΣ.

(collum ei obtorquens:)

οὗτος, βλέπε δεῦρ'.

ΠΑΡΜΕΝΩΝ.

ἆ, δέσποτα!

ΔΗΜΕΑΣ.

τὸ παιδίον τίνος ἐστίν;

ΠΑΡΜΕΝΩΝ.

ἤν. τὸ παιδίον . . .;

ΔΗΜΕΑΣ.

τίνος ἐστὶ μητρός;

ΠΑΡΜΕΝΩΝ.

Χρυσίδος.

ΔΗΜΕΑΣ.

πατρὸς δὲ τοῦ;

ΠΑΡΜΕΝΩΝ.

σοῦ, νὴ Δί'!

ΔΗΜΕΑΣ.

ἀπόλωλας· φενακίζεις μ'.

ΠΑΡΜΕΝΩΝ.

ἐγώ;

ΔΗΜΕΑΣ.

ἐγᾦδ' ἀκριβῶς πάντα. μηδὲν κρύπτ' ἔτι·
ὅτι Μοσχίωνός ἐστιν, ὅτι σύνοισθα σύ,
ὅτι βρέφος ἴδιον ἐνθάδε νῦν αὕτη τρέφει.

---

97. *ἆ, δέσποτα!]: αδε[ cod., ἀδεῶς λέγε vWil., Demeae haec verba continuans (ante vs. 98 non est signum personae mutatae).

98[a] Demeae, 98[b] Parmenoni dedit vWil.

98. τίνος ἐστίν; vWil.] προσεστιν (?) cod.

99. ἐστὶ μητρός; — Χρυσίδος Lef. ] ε........σ: χρ...δ.σ: cod.

100. σοῦ, νὴ Δί'. — ἀπόλωλας Lef.] σο..........ωλασ cod.

101—105. *Audacter sic supplevi quae contextui certe convenire videbantur. Cod. 101 ......ακριβ....τα....[, 103 ..................υναυτητρεφει:, 104 ..εφη......... λλ' κτέ., 105 ....εστιν: ε......ταλλα κτέ.; vs. 102 ἐστιν supplevit Lef.

ΠΑΡΜΕΝΩΝ.

τίς ἔφη δὲ . . .

ΔΗΜΕΑΣ.

μὴ κρύπτ', ἀλλ' ἀπόκριναι τοῦτό μοι·
ταῦτ' ἔστιν;

ΠΑΡΜΕΝΩΝ.

ἔστιν· χρὴ δέ σε τἄλλα λανθάνειν.

ΔΗΜΕΑΣ.

τί λανθάνειν; — ἱμάντα, παῖδες, τις δότω
ἐπὶ τουτονί μοι τὸν ἀσεβῆ.

ΠΑΡΜΕΝΩΝ.

μή, πρὸς θεῶν!

ΔΗΜΕΑΣ.

στίξω σε, νὴ τὸν ἥλιον.

ΠΑΡΜΕΝΩΝ.

στίξεις ἐμέ;

ΔΗΜΕΑΣ.

ἢ λέγ'.

ΠΑΡΜΕΝΩΝ.

ἀπόλωλα.

(Aufugit.)

ΔΗΜΕΑΣ.

ποῖ σύ, ποῖ, μαστιγία;
λάβ' αὐτόν. — ὦ πόλισμα Κεκροπίας χθονός,
ὦ ταναὸς αἰθήρ! — ὦ τί, Δημέα, βοᾷς;
τί βοᾷς, ἀνόητε; κάτεχε σαυτόν· καρτέρει.
οὐδὲν γὰρ ἀδικεῖ Μοσχίων σε. παράβολος
ὁ λόγος ἴσως ἔστ', ἄνδρες, ἀλλ' ἀληθινός.
εἰ μὲν γὰρ ἢ βουλόμενος ἢ κρατούμενος
ἔρωτι τοῦτ' ἔπραξεν ἢ μισῶν ἐμέ,

---

106. παῖδές, τις Lef.] παιδε..ισ cod.
109. λέγ' vWil.] λῆγ' Lef. cum cod.
115. *ἢ κρατούμενος] supplevi, ἢ παρηγμένος Crusius, αὐτὸς δακνόμενος vWil.
116. μισῶν ἐμέ Lef.] μισω[ cod.

*ἦν ἂν ἔτι τῆς αὐτῆς διανοίας ὡς τὸ πρίν,*
*ἐμοί τ' ἐπέθετ' ἂν ἅσμενος· νυνὶ δέ μοι*
*ἀπολελόγηται, τὸν φανέντ' αὐτῷ γάμον*
*ἅσμενος ἀκούσας. οὐκ ἐρῶν γάρ, ὡς ἐγὼ*
*τότ' ᾤόμην, ἔσπευδεν, ἀλλὰ τὴν ἐμὴν*
*Ἑλένην φυγεῖν βουλόμενος ἔνδοθέν ποτε.*
*αὕτη γάρ ἐστιν αἰτία τοῦ γεγονότος.*
*ἔφθειρεν αὐτόν που μεθύοντα δηλαδή,*
*οὐκ ὄντ' ἐν ἑαυτοῦ· πολλὰ δ' ἔργ' ἐργάζεται*
*καὶ δείν' ἄκρατος καὶ νεότης, ὅταν λάβῃ*
*καιρὸν ἐπιβουλεύσαντά τοι τοῖς πλησίον.*
*τοῦτ' οὐδέπω γὰρ πιθανὸν εἶναί μοι δοκεῖ,*
*τὸν εἰς ἅπαντας κόσμιον καὶ σώφρονα*
*τοὺς ἀλλοτρίους εἰς ἐμὲ τοιοῦτον γεγονέναι,*
*οὐδ' εἰ δεκάκις ποητός ἐστι, μὴ γόνῳ*
*ἐμὸς υἱός. οὐ γὰρ τοῦτο, τὸν τρόπον δ' ὁρῶ.*
*χαμαιτύπη δ' ἄνθρωπος, ὄλεθρος — — ἀλλὰ τί;*
*οὐ γὰρ περίεσται, Δημέα! νῦν ἄνδρα χρὴ*
*εἶναί σ'. ἐπιλαθοῦ τοῦ πόθου, πέπαυσ' ἐρῶν,*
*καὶ ἔπειτα τοῦτο μὲν τὸ γεγονὸς κρύφθ' ὅσον*

---

117. *ἂν* vWil.] *.ν* cod., *νῦν* Croiset.
— **ἔτι*] *ἐπὶ* Lef. cum cod.
— *διανοίας ὡς τὸ πρίν* Croiset] *διανο*[ cod.
118. **τ' ἐπέθετ' ἂν*] *τεπ.θ..ε.* cod., sed dubiae sunt litterae *θ* et *ε*.
119. *φανέντ'*] *φανενταδ'* cod., in archetypo fuit *φανε$^{τ'}$ντα*. Lef. *φανένθ' αὐτῷ*.
120. *ἐρῶν* vWil.] *ἐρᾶν* Lef. cum cod.
123. *αὕτη γάρ* Lef.] *αυτ....* cod.
124. **ἔφθειρεν*] *.....εν* cod., *ἐξεῦρεν* Croiset, *κατέλαβεν* vWil.
125. *οὐκ ὄντ'*] supplevit Croiset (*οὐκ ὄντα γ'* scribens deleto *ἐν*, correxit vWil.; cf. Ar. Vesp. 642 al.).
— **ἔργ'*] addidi, cod. *δἐργαζεται*, Croiset *δ<ὲ συν>εργάζεται*, vWil. *δείν' ἐργάζεται*.
126. **καὶ δείν'*] supplevi, cod. ......', *οἶνός τ'* Croiset, *εὖ οἶδ'* vWil.
127. **καιρὸν*] supplevi, *τὸν οὐκ* Croiset, *παῖδ' οὐκ* vWil. (dein *τοι* in *πω* mutans).
128—130. Versuum initia supplevit Croiset, cod. ........*πω*, ........*αντασ*, ........*οτριουσ*.
131. **οὐδ' εἰ*] supplevi, *εἰ μὴ* Croiset; vs. 132 docet Moschionem revera adoptivum, non genuinum esse Demeae filium.
133. *Post *ὄλεθρος* scripsi signa orationis interruptae. Lef. *ἄνθρωπος*, post *ὄλεθρος* enuntiatum claudens.
136. **καὶ ἔπειτα τοῦτο*] *καιτατυμη* cod., *κἂν ταῦτ' ἀθυμῇς μέν* Croiset.

ἔνεστι — διὰ τὸν υἱόν, ἐκ τῆς δ' οἰκίας
ἐπὶ τὴν κεφαλὴν εἰς κόρακας ὦσον τὴν κακὴν
Σαμίαν. ἔχεις δὲ πρόφασιν ὅτι τὸ παιδίον
ἀνείλετ'. ἐμφανίσῃς γὰρ ἄλλο μηδὲ ἕν,
δακὼν δ' ἀνάσχου· καρτέρησον εὐγενῶς.

(Prodeunt denuo coquus eiusque famulus.)

## NOVA SCENA.

### Demea, Coquus.

*ΜΑΓΕΙΡΟΣ.*

(ad famulum suum:)

ἀλλ' ἆρα πρόσθεν τῶν θυρῶν ἐστ' ἐνθάδε,
παῖ, Παρμένων; — ἅνθρωπος ἀποδέδρακέ με
ἀλλ' οὐδὲ μικρὸν συλλαβών.

*ΔΗΜΕΑΣ.*

ἐκ τοῦ μέσου
ἄναγε σεαυτόν!

(In aedes irruit.)

*ΜΑΓΕΙΡΟΣ.*

Ἡρακλεῖς, τί τοῦτο, παῖ;
μαινόμενος εἰσδεδράμηκεν εἴσω τις γέρων,
ἢ τί τὸ κακόν ποτ' ἐστί; — τί δέ μοι τοῦτο, ποῖ;

(Vociferantis intus Demeae audiuntur clamores.)

νὴ τὸν Ποσειδῶ, μαίνεθ', ὡς ἐμοὶ δοκεῖ.
κέκραγε γοῦν παμμέγεθες. ἀστεῖον πάνυ
εἰ τὰς λοπάδας ἐν τῷ μέσῳ μου κειμένας
ὄστρακα ποήσαι πάνθ' ὅμοια! — τὴν θύραν
πέπληχεν. ἐξώλης ἀπόλοιο, Παρμένων,
κομίσας με δεῦρο! — μικρὸν ὑπαποστήσομαι.

(Abeunt coquus et famulus. Ex aedibus prodeunt Demea et Chrysis.)

---

142 sqq. Coquum iam prodire a Parmenone adductum et ollas afferentem perspexit Lef.

$144^{b}$ sq.$^{a}$ *Dedi Demeae, Parmenoni (qui non adest nunc) Lef.

146. τις γέρων vWil.] ·τίς γέρων; Lef.

147. *Post τοῦτο scripsi virgulam, Lef. signum interrogandi.

## NOVA SCENA.

Demea, Chrysis.

*ΔΗΜΕΑΣ.*

*οὔκουν ἀκούεις; ἄπιϑι.*

*ΧΡΥΣΙΣ.*

*ποῖ γῆς, ὦ τάλαν;*

*ΔΗΜΕΑΣ.*

*εἰς κόρακας ἤδη!*

*ΧΡΥΣΙΣ.*

*δύσμορος!*

*ΔΗΜΕΑΣ.*

(irridens:)

*ναί, δύσμορος!*
*ἐλεεινὸν ἀμέλει τὸ δάκρυον! — παύσω σ' ἐγώ,*
*ὡς οἴομαι, —*

*ΧΡΥΣΙΣ.*

*τί ποοῦσαν;*

*ΔΗΜΕΑΣ.*

(verba compescens:)

*οὐδέν. — ἀλλ' ἔχεις*
*τὸ παιδίον, τὴν γραῦν· ἀποφϑείρου τάχυ.*

*ΧΡΥΣΙΣ.*

*ὅτι τοῦτ' ἀνειλόμην, διὰ τοῦτο κλαυτέα;*

*ΔΗΜΕΑΣ.*

*διὰ τοῦτο. τοιοῦτ' ἦν τὸ κακόν.*

*ΧΡΥΣΙΣ.*

*οὐ μανϑάνω.*

*ΔΗΜΕΑΣ.*

*τρυφᾶν γὰρ οὐκ ἠπίστασ'.*

---

155. Sic distribuit vWil., Lef. Chrysidi continuabat 155[a] (cum signo interrogandi), Demeae dabat 155[b], Chrysidi 155[c] sq[a]. (item cum signo interrogandi).
159. *κλαυτέα* vHerwerden] *καντικαι* cod., *καὐτίκα* Lef., *τοῦτ' ἐκβάλλομαι* vWil.
160. *οὐ*] addidit vWil. et verba *οὐ μανϑάνω* Chrysidi dedit.

ΧΡΥΣΙΣ.

οὐκ ἠπιστάμην;
τί δ' ἔσθ' ὃ λέγεις;

ΔΗΜΕΑΣ.

καίτοι πρὸς ἔμ' ἦλθες ἐνθάδε
ἐν σινδονίτῃ, Χρυσί, — μανθάνεις πάνυ; —
λιτῷ.

ΧΡΥΣΙΣ.

τί οὖν;

ΔΗΜΕΑΣ.

τότ' ἦν ἐγώ σοι πάνθ', ὅτε
φαυλῶς ἔπραττες.

ΧΡΥΣΙΣ.

νῦν δὲ τίς;

ΔΗΜΕΑΣ.

μή μοι λάλει.
ὁρᾷς· τὰ σαυτῆς πάντα προστίθημί σοι,
κόσμον, θεραπαίνας, χρυσί'· ἐκ τῆς οἰκίας
ἄπιθι.

ΧΡΥΣΙΣ.

(secum:)

τὸ πρᾶγμ' ὀργή τίς ἐστι· προσιτέον.

(Ad Demeam:)

βέλτισθ', ὅρα.

ΔΗΜΕΑΣ.

τί μοι διαλέγει;

ΧΡΥΣΙΣ.

μὴ δάκῃς!

ΔΗΜΕΑΣ.

ἑτέρα γὰρ ἀγαπήσει τὰ παρ' ἐμοί, Χρυσί, νῦν
καὶ τοῖς θεοῖς θύσει.

---

164. *λιτῷ* vWil.] *αἰτῶ* Lef.; cf. fr. 442, 633.
165. **δὲ τίς*] *δετισ..* cod., *δ' ἔτι σε* Lef. (mente supplens *φιλῶ*), *δὲ τί σε* vWil.
166. *ὁρᾷς* Lef.] ...*σ* cod.
167. *κόσμον*] supplevit Lef.
168. *ἐστι·* vWil.] *·ἐς τί προσιτέον;* Lef.

*ΧΡΥΣΙΣ.*

τί ἐστιν;

*ΔΗΜΕΑΣ.*

ἀλλὰ σὺ
υἱὸν πεπόηκας· πάντ' ἔχεις.

*ΧΡΥΣΙΣ.*

οὔπω· δάκνει
ὅμως.

*ΔΗΜΕΑΣ.*

κατάξω τὴν κεφαλήν, ἄνθρωπέ, σου
ἄν μοι διαλέγῃ.

*ΧΡΥΣΙΣ.*

καὶ δικαίως· ἀλλ' ἰδού,
εἰσέρχομ' ἤδη.

*ΔΗΜΕΑΣ.*

τὸ μέγα πρᾶγμ' ἐν τῇ πόλει
ὄψει σεαυτὴν νῦν ἀκριβῶς ἥτις εἶ.
αἱ κατὰ σ' ἑταῖραι, Χρυσί, πραττόμεναι δέκα
δραχμὰς μόνας τρέχουσιν ἐπὶ τὰ δεῖπνα καὶ
πίνουσ' ἄκρατον ἄχρις ἂν ἀποθάνωσιν, ἢ
πεινῶσιν, ἂν μὴ τοῦθ' ἑτοίμως καὶ ταχὺ
ποῶσιν. εἴσει δ' οὐδενὸς τοῦτ', οἶδ' ὅτι,
ἧττον σύ, καὶ γνώσει τίς οὖσ' ἡμάρτανες. —
ἕσταθι.

(Irruit in aedes ianuamque claudit.)

*ΧΡΥΣΙΣ.*

τάλαιν' ἔγωγε τῆς ἐμῆς τύχης!

(Prodit Niceratus.)

---

172[b] sq.[a] Sic scripsi cum cod., Lef. *οὕτω δάκνει· ὅμως —*, vWil. *τούτῳ δάκνει; ὅμως —*.

175. *πρᾶγμ'* Lef.]...*γμ'* cod.

177 sq. **σ' ἑταῖραι, Χρυσί, πραττόμεναι δέκα | δραχμὰς μόνας*] *σέ, Χρυσί, πραττόμεναι δραχμὰς δέκα | μόνας ἑταῖραι* Lef. cum cod., dein auctore Croiseto scribens *δὴ τρέχουσ' ἐπὶ δεῖπνα.*

179. **ἢ*] *και* (superscr. ·η·) cod., *καὶ* Lef

183. *ἔγωγε* vWil.] *ἐγὼ* Lef. cum cod.

## NOVA SCENA.

Chrysis, Niceratus.

*ΝΙΚΗΡΑΤΟΣ.*

τουτὶ τὸ πρόβατον τοῖς θεοῖς μὲν τὰ νόμιμα
ἅπαντα ποιήσει τυθὲν καὶ ταῖς θεαῖς.
αἷμα γὰρ ἔχει, χολὴν ἱκανήν, ὀστᾶ καλά,
σπλῆνα μέγαν, ὧν χρεία ἐστὶ τοῖς Ὀλυμπίοις.
πέμψω δὲ γεύσασθαι κατακόψας τοῖς φίλοις
τὸ κῴδιον· λοιπὸν γάρ ἐστι τοῦτό μοι. —
ἀλλ', Ἡράκλεις, τί τοῦτο; πρόσθε τῶν θυρῶν
ἕστηκε Χρυσὶς ἥδε κλάουσ'; οὐ μὲν οὖν
ἄλλη! — τί ποτε τὸ γεγονός;

*ΧΡΥΣΙΣ.*

ἐκβέβληκέ με
ὁ φίλος ὁ χρηστός σου, τί γὰρ ἄλλ'!

*ΝΙΚΗΡΑΤΟΣ.*

ὦ Ἡράκλεις!
τίς; Δημέας;

*ΧΡΥΣΙΣ.*

ναί.

*ΝΙΚΗΡΑΤΟΣ.*

διὰ τί;

*ΧΡΥΣΙΣ.*

διὰ τὸ παιδίον.

*ΝΙΚΗΡΑΤΟΣ.*

ἤκουσα κἀὐτὸς τῶν γυναικῶν ὅτι τρέφεις
ἀνελομένη παιδάριον, — ἐμβροντησία!
ἀλλ' ἔστ' ἐκεῖνος ἡδύς.

---

185. τυθὲν] θυθεν cod.

190 sq. *Sic interpunxi, Lef. post θυρῶν interrogandi signum scripsit, post κλάουσ' virgulam.

192. *ποτε] ποτ' ἐστι Lef. cum cod. numeris invitis.

*ΧΡΥΣΙΣ.*

οὐκ ὠργίζετο
εὐθύς, διαλιπὼν δ', ἀρτίως. ὃς καὶ φράσας
εἰς τοὺς γάμους μοι τἄνδον εὐτρεπῆ ποεῖν
μεταξύ μ' ὥσπερ ἐμμανὴς ἐπεισπεσὼν
ἔξωθεν ἐκκέκλεικε.

*ΝΙΚΗΡΑΤΟΣ.*

Δημέας; χολᾷ;

---

Post lacunam duarum pluriumve paginarum sequitur aliud fragmentum, duo folia sive paginas quatuor implens.

Chrysis cum infante quem nutriebat et nutrice a Nicerato recepta est. Iam vero Niceratus — a Parmenone? — didicit suae ipsius filiae esse infantem illum.

*ΝΙΚΗΡΑΤΟΣ.*

— — — —
ἀλλὰ πάλιν ἐλθὼν —

NUTRIX.

(Niceratum frustra retinens:)

τὸ δεῖνα, — μικρόν, ὦ τᾶν . . .

(Niceratus in suas aedes irruit.)

οἴχεται!
πάντα πράγματ' ἀνατέτραπται· τέλος ἔχει!

(Et ipsa in aedes Nicerati irruit.)

*ΔΗΜΕΑΣ.*

νὴ τὸν Δία,
οὑτοσὶ τὸ πρᾶγμ' ἀκούσας χαλεπανεῖ, κεκράξεται.
τραχὺς ἄνθρωπος, σκατοφάγος, αὐθέκαστος τῷ τρόπῳ. —
ἐμὲ γὰρ ὑπονοεῖν τοιαῦτα τὸν μιαρὸν ἐχρῆν, ἐμέ!

---

197ᵇ sq.ᵃ Chrysidi dedit vWil., Lef. Nicerato continuabat.
199 sq. ποεῖν et ἐπεισπεσὼν Lef.] π.ε[ et επεισπεσ[ cod.
201. ; χολᾷ; Crusius] χ [cod.
202. *Sic distinxi; Lef. τὸ δεῖνα μικρόν et οἴχεται πάντα, Demeae tribuens 199ᵃ, 199ᵇ sq.ᵃ cui tribuat nesciens.
— οἴχεται Lef.] .οιχε[ cod.
203. πάντα vWil.] πανταταcod.
— τὸν] addidit Crusius.

νὴ τὸν Ἥφαιστον, δικαίως ἀποθάνοιμ' ἄν.

(Auditur Nicerati clamantis vox.)

Ἡράκλεις,

ἡλίκον κέκραγε! τοῦτ' ἦν· πῦρ βοᾷ· τὸ παιδίον
φησὶν ἐμπρήσειν, ἐκείνην υἱὸν οὖν ὠπτημένον
ὄψον ἕξειν. ἤν, πέπληχε τὴν θύραν.

(Proruit Niceratus.)

στρόβιλος ἢ
σκηπτός, οὐκ ἄνθρωπός ἐστι.

ΝΙΚΗΡΑΤΟΣ.

Δημέα, συνίσταται
ἐπ' ἐμὲ καὶ πάνδεινα ποιεῖ πράγμαθ' ἡ Χρυσίς.

ΔΗΜΕΑΣ.

τί φής;

ΝΙΚΗΡΑΤΟΣ.

τὴν γυναῖκά μου πέπεικε μηδὲν ὁμολογεῖν ὅλως
μηδὲ τὴν κόρην· ἔχει δὲ πρὸς βίαν τὸ παιδίον
οὐ προήσεσθαί τέ φησιν. ὥστε μὴ θαύμαζ' ἐὰν
αὐτόχειρ αὐτῆς γένωμαι.

ΔΗΜΕΑΣ.

τῆς γυναικὸς αὐτόχειρ;

ΝΙΚΗΡΑΤΟΣ.

πάντα γὰρ σύνοιδεν αὕτη.

ΔΗΜΕΑΣ.

μηδαμῶς, Νικήρατε!

ΝΙΚΗΡΑΤΟΣ.

σοὶ δ' ἐβουλόμην προειπεῖν.

(In suas aedes raptim redit.)

---

208. *κέκραγε* Lef.] *κεκ....* cod.

209. **φησὶν ἐμπρήσειν, ἐκείνην υἱὸν οὖν ὠπτημένον*] *φησι...ει....εμπρησειννιωδουν οπτωμενον* cod.; versum turbatum testantur numeri vitiosi. Lef. (Croiset) *ουν* delendum suspicatur.

210. **ἕξειν. ἤν*] *..ρ.....* cod., sed *ρ* non certa.

— *ἢ*] supplevit Lef.

211. *σκηπτός, οὐκ ἄνθρωπος* Croiset] *σκη.....νθρωποσ* cod. (excideratne *οὐκ*?).

217. **αὕτη*] *αὐτή* Lef.; an **αὐτῇ*?

218[a]. Nicerato dedit vWil. cum cod.; Demeae continuabat Croiset.

*ΔΗΜΕΑΣ.*

*οὑτοσὶ μελαγχολᾷ.*

*εἰσπεπήδηκεν. — τί τούτοις τοῖς κακοῖς τις χρήσεται;*
*οὐδεπώποτ' εἰς τοιαύτην ἐμπεσών, μὰ τοὺς θεούς,*
*οἶδα ταραχήν· ἔστι μέντοι τὸ γεγονὸς φράσαι σαφῶς*
*πολὺ κράτιστον. ἀλλ', Ἄπολλον, ἡ θύρα πάλιν ψοφεῖ.*

(E Nicerati aedibus Chrysis proruit infantem tenens; persequitur Niceratus.)

## NOVA SCENA.

### Demea, Chrysis, Niceratus.

*ΧΡΥΣΙΣ.*

*ὦ τάλαιν' ἐγώ! τί δράσω; ποῖ φύγω; τὸ παιδίον*
*λήψεταί μου.*

*ΔΗΜΕΑΣ.*

*Χρυσί, δεῦρο!*

*ΧΡΥΣΙΣ.*

*τίς καλεῖ μ';*

*ΔΗΜΕΑΣ.*

*εἴσω τρέχε.*

(In Demeae aedes confugit Chrysis.)

*ΝΙΚΗΡΑΤΟΣ.*

*ποῖ σύ, ποῖ φεύγεις;*

*ΔΗΜΕΑΣ.*

(secum:)

*Ἄπολλον, μονομαχήσω τήμερον,*
*ὡς ἔοικ', ἐγώ.*

(Ad Niceratum:)

*τί βούλει; τίνα διώκεις;*

*ΝΙΚΗΡΑΤΟΣ.*

*Δημέα,*
*ἐκποδὼν ἄπελθ'· ἔα με γενόμενον τοῦ παιδίου*
*ἐγκρατῆ τὸ πρᾶγμ' ἀκοῦσαι τῶν γυναικῶν.*

---

225. *μονομαχήσω*] *μονομάχης ὦ* Lef. (quem typothetae suspicor esse errorem).

ΔΗΜΕΑΣ.

μαίνεται! —

ἀλλὰ τυπτήσεις μ'; 

ΝΙΚΗΡΑΤΟΣ.

ἔγωγε!

ΔΗΜΕΑΣ.

θᾶττον ἐκφθάρηθι σύ.

(Luctantur; superior evadit Demea.)

ἀλλὰ μὴν κρατῶ σε. φεῦγε, Χρυσί.

ΝΙΚΗΡΑΤΟΣ.

κρείττων ἐστί μου!

ΔΗΜΕΑΣ.

πρότερος ἄπιθί μου σὺ νυνί.

ΝΙΚΗΡΑΤΟΣ.

τοῦτ' ἐγὼ μαρτύρομαι.

(Baculum petit.)

οὐδ' ἐάσεις μ'; 

ΔΗΜΕΑΣ.

ἐπὶ γυναῖκα λαμβάνεις βακτήριον;

οἷον ἀδικεῖς!

ΝΙΚΗΡΑΤΟΣ.

συκοφαντεῖς.

ΔΗΜΕΑΣ.

καὶ σὺ γάρ.

ΝΙΚΗΡΑΤΟΣ.

τὸ παιδίον

ἀποδίδως ἐμοί;

---

229. *ἔγωγε] ἐγώ σε Lef. cum cod. (?).
— *ἐκφθάρητι] εἰσφθάρητι Lef. cum cod. (?). Cf. Ar. Pac. 72.

230. *κρατῶ σε] dubitanter supplevi, cod. κ....., vHerwerden μὴ λάβῃ σε. Dein Nicerato dedi verba κρείττων ἐστί μου, quae Demeae continuant cod. et Lef.; superiorem evasisse Demeam sequentia docere videntur.

231. ἄπιθι Lef.] απ.θ. cod.

232. *οὐδ' ἐάσεις μ'; ΔΗ. ἐπὶ] ουδ'ε........... cod.

233. *οἷον ἀδικεῖς]....... κεισ cod.

234. ἀποδίδως] supplevit vWil., ἀπόδος νῦν Croiset (invitis numeris), ἀπόδος οὖν vHerwerden.

ΔΗΜΕΑΣ.

γέλοιον, τοὐμόν!

ΝΙΚΗΡΑΤΟΣ.

ἀλλ' οὐκ ἔστι σόν!

ΔΗΜΕΑΣ.

οὐ γάρ, ὤνθρωποι;

ΝΙΚΗΡΑΤΟΣ.

κέκραχθι· τὴν γυναῖκ' ἀποκτενῶ
εἰσιών.

ΔΗΜΕΑΣ.

τί γὰρ ποήσω; τοῦτο μοχθηρὸν πάνυ.
οὐκ ἐάσω. — ποῖ σύ; μένε δή.

ΝΙΚΗΡΑΤΟΣ.

μὴ πρόσαγε τὴν χεῖρά μοι.

ΔΗΜΕΑΣ.

κάτεχε δὴ σεαυτόν.

ΝΙΚΗΡΑΤΟΣ.

ἀδικεῖς, Δημέα, με, — δῆλος εἶ, —
καὶ τὸ πρᾶγμα πᾶν σύνοισθα.

ΔΗΜΕΑΣ.

τοιγαροῦν ἐμοῦ πυθοῦ,
τῇ γυναικὶ μὴ ἐνοχλήσας μηδέν.

ΝΙΚΗΡΑΤΟΣ.

ἆρ' ὁ σός με παῖς
ἐντεθρίωκεν;

ΔΗΜΕΑΣ.

φλυαρεῖς. λήψεται μὲν τὴν κόρην·
ἔστι δ' οὐ τοιοῦτον. ἀλλὰ περιπάτησον ἐνθαδὶ
βραχύ τι μετ' ἐμοῦ —

---

235. οὐ γάρ] supplevit Croiset.
236. τί γὰρ ποήσω] *Demeae dedi, Nicerato Lef. cum cod.
238ᵃ. *Dedi Demeae, Lef. cum cod. continuat Nicerato.
238. σεαυτόν Crusius] σαυτὸν Lef. cum cod., dein post ἀδικεῖς addens γάρ.
242. περιπάτησον Crusius] περιπατη... cod., περιπάτησαι Lef.
243. *βραχύ τι] addidi, μικρὰ Crusius et vWil., μικρον cod. in praecedentis versus exitu. Singularem μικρόν non admittunt numeri, sed pluralem ut admittat lingua vereor. Etiam ΝΙ. εἶτα μετὰ σοῦ π. recte haberet.

*ΝΙΚΗΡΑΤΟΣ.*

περιπατήσω;

*ΔΗΜΕΑΣ.*

καὶ σεαυτὸν ἀνάλαβε. —
οὐκ ἀκήκοας λεγόντων, εἰπέ μοι, Νικήρατε,
τῶν τραγῳδῶν ὡς γενόμενος χρυσὸς ὁ Ζεὺς ἐρρύη
διὰ τέγους, κατειργμένην δὲ παῖδ' ἐμοίχευσέν λάθρᾳ;

*ΝΙΚΗΡΑΤΟΣ.*

εἶτα δὴ τί τοῦτ';

*ΔΗΜΕΑΣ.*

ἴσως δεῖ πάντα προσδοκᾶν· σκόπει
τοῦ τέγους εἴ σοι μέρος τι ῥεῖ.

*ΝΙΚΗΡΑΤΟΣ.*

τὸ πλεῖστον! ἀλλὰ τί
τοῦτο πρὸς ἐκεῖν' ἐστί;

*ΔΗΜΕΑΣ.*

τότε μὲν γίγνεθ' ὁ Ζεὺς χρυσίον,
τότε δ' ὕδωρ, ὁρᾷς· ἐκείνου τοὖργόν ἐστιν. ὡς ταχὺ
εὕρομεν!

*ΝΙΚΗΡΑΤΟΣ.*

καὶ βουκολεῖς με;

*ΔΗΜΕΑΣ.*

μὰ τὸν Ἀπόλλω ἐγὼ μὲν οὔ.
ἀλλὰ χείρων οὐδὲ μικρὸν Ἀκρισίου δήπουθεν εἶ·
εἰ δ' ἐκείνην ἠξίωσε, τήν γε σήν —

---

243. *Post περιπατήσω scripsi signum interrogandi.
— σεαυτὸν ἀνάλαβε Crusius] σεα..........λαβε cod., σεαυτὸν σύλλαβε vWil.
244. λεγόντων κτέ. vWil.] ειπεμοιλεγον............τε cod.
245. χρυσὸς ὁ Ζεὺς Crusius] ..........σ cod., ὁ Ζεύς ποτε χρυσὸς Croiset (metro invito).
246. Post διὰ Croiset delevit του.
— λάθρᾳ] supplevit Crusius, ἐκεῖ Lef. (metro invito), ποτε vWil.
248. τοῦ τέγους vWil.] το.....υσ cod., τοῦτο· Ζεὺς Lef. (invito metro).
— τὸ πλεῖστον] Nicerato dedit vWil., in cod. sunt Demeae.
250 sq. *Sic distinxi; ante ὡς Lef. non interpunxit.
251. μὰ τὸν Ἀπόλλω] Nicerato dederat Lef.; corr. Crusius.

*ΝΙΚΗΡΑΤΟΣ.*

οἴμοι, τάλας!
Μοσχίων ἐσκεύακέν με.

*ΔΗΜΕΑΣ.*

λήψεται μέν· μὴ φόβου
τοῦτο. θεῖον δ' ἔστ', ἀκριβῶς οἶδα, τὸ γεγεννημένον.
μυρίους εἰπεῖν ἔχω σοι περιπατοῦντας ἐν μέσῳ
ὄντας ἐκ θεῶν. σὺ δ' οἴει δεινὸν εἶναι τὸ γεγονός;
Χαιρεφῶν πρώτιστος οὗτος, ὃν τρέφουσ' ἀσύμβολον,
οὐ θεός σοι φαίνετ' εἶναι;

*ΝΙΚΗΡΑΤΟΣ.*

φαίνεται· τί γὰρ πάθω;
οὐ μαχοῦμαί σοι διὰ κενῆς.

*ΔΗΜΕΑΣ.*

νοῦν ἔχεις, Νικήρατε.
Ἀνδροκλῆς ἔτη τοσαῦτα ζῇ, τρέχει, πηδᾷ, πολὺ
πράττεται, μέλας περιπατεῖ, λευκὸς οὐκ ἂν ἀποθάνοι,
οὐδ' ἂν εἰ σφάττοι τις αὐτόν· οὗτός ἐστιν οὐ θεός;
ἀλλὰ ταῦτ' εὔχου γενέσθαι συμφέροντα· θυμία
............. κοσηνμε ..... οὑμὸς υἱὸς αὐτίκα
ἐξ ἀνάγκης εσ . . ου . . πολλ . . . . μ . εν . υνεχε [
εἰ δ' ἐλήφθη τοτε . . . . ο . . παροξ . [
τἄνδον εὐτρεπῆ.

*ΝΙΚΗΡΑΤΟΣ.*

πόημα τὰ παρ' ἐμοὶ Διὸς χάριν.

*ΔΗΜΕΑΣ.*

κομψὸς εἶ.

---

255. ἔστ', ἀκριβῶς οἶδα, vWil.] ἐστιν ἀκριβῶς Lef. cum cod.; etiam magis placeat *οἶδ' ἀκριβῶς, ἔστι.

— *γεγεννημένον] γεγενημένον Lef. cum cod.

261. πηδᾷ Crusius] παιδα cod., τρέφει παῖδα Lef.

263. οὐδ' ἂν εἰ σφάττοι Crusius] cod. ουδὰξεισφα . ται (?), Lef. σὺ δ' ἄξεις ...... τι σαυτόν.

267. παροξ] παροξυνθεὶς aliave huius verbi forma fuit.

268—270. Sic distribuit vWil.; Lef. Nicerato dederat 268[a] (cum signo interrogandi) et 269[a], Demeae 268[b] et 269[b] sq.

268. πόημα τὰ — Διὸς χάριν vWil.] ποήματα παρ' ἐμοὶ δ[ Lef.

*ΝΙΚΗΡΑΤΟΣ.*

χάριν δὲ πολλὴν πᾶσι τοῖς θεοῖς ἔχω,
οὐδὲν εὑρηκὼς ἀληθὲς ὧν τότ' ᾠμην πραγμάτων.

(Abeunt in aedes Demeae.)

---

Saltat chorus.

---

## NOVUS (QUINTUS?) ACTUS.

(Prodit Moschion).

### SCENA PRIMA.

Moschion solus.

*ΜΟΣΧΙΩΝ.*

ἐγὼ τότε μὲν ἧς εἶχον αἰτίας πάλαι
ἐλεύθερος γενόμενος ἠγάπησα δή,
τοῦθ' ἱκανὸν εὐτύχημ' ἐμαυτῷ λαμβάνειν
οἰόμενος. εἶτα δ', ὡς τὸ πᾶν μιμνῄσκομαι
καὶ λαμβάνω λογισμόν, ἐξέστηκα νῦν
τελέως ἐμαυτοῦ καὶ παρώξυμμαι σφόδρα
ἐφ' οἷς μ' ὁ πατὴρ ὑπέλαβεν ἡμαρτηκέναι.
εἰ μὲν καλῶς οὖν εἶχε τὰ περὶ τὴν κόρην,
καὶ μὴ τοσαῦτ' ἦν ἐμποδών, ὅρκος, πόθος,
χρόνος, συνήθει', οἷς ἐδουλούμην ἐγώ,
οὐκ ἂν παρόντα γ' αὖθις ᾐτιάσατο

---

269. θεοῖς ἔχω Lef.] θ[ cod.
270. ᾠμην Lef.] ωμη[ cod.
— *πραγμάτων] supplevi, εἰδέναι vWil.; an *ᾠόμην κακῶν?
— Post hunc versum in cod. est χορου.
272. ἠγάπησα δή Lef.] ηγαπη...η cod.
273 sq. *ἐμαυτῷ — μιμνῄσκομαι] supplevi quae contextui convenire videbantur, cod. εμαυτ[ et ]εvv....ομαι, Lef. ἐμαυτῷ γ' ᾠόμην., versum 274 non tangens.
275. ἐξέστηκα Croiset] εξε..... cod.
276. παρώξυμμαι Lef.] παρωξυμ... cod.
— σφόδρα Crusius] ....ρα cod.
281. αὖθις (αὖτις) vWil.] αὖ τις Lef.

*αὐτόν με τοιοῦτ' οὐδέν, ἀλλ' ἀποφθαρεὶς*
*ἐκ τῆς πόλεως ἂν ἐκποδὼν εἰς Βάκτρα ποι*
*ἢ Καρίαν διέτριβον αἰχμάζων ἐκεῖ.*
*νῦν δ' οὐ ποήσω διὰ σέ, Πλαγγὼν φιλτάτη,*
*ἀνδρεῖον οὐδέν. οὐ γὰρ ἔξεστ', οὐδ' ἐᾷ*
*ὁ τῆς ἐμῆς νῦν κύριος γνώμης Ἔρως.*
*οὐ μὴν ταπεινῶς οὐδ' ἀγεννῶς παντελῶς*
*φέρειν θέλω τοῦτ', ἀλλὰ τῷ λόγῳ μόνον,*
*εἰ μηδὲν ἄλλ', αὐτὸν φοβῆσαι βούλομαι,*
*φάσκων ἀπαίρειν· μᾶλλον εἰς τὰ λοιπὰ γὰρ*
*φυλάξετ' αὐτὸς μηδὲν εἴς μ' ἀγνωμονεῖν,*
*ὅταν φέροντα μὴ παρέργως τοῦτ' ἴδῃ.*
(Prodit Parmenon.)
*ἀλλ' οὑτοσὶ γὰρ εἰς δέοντά μοί ποθεν*
*καιρὸν πάρεστιν ὃν μάλιστ' ἐβουλόμην.*

## SCENA SECUNDA.

Parmenon, Moschion.

*ΠΑΡΜΕΝΩΝ.*

(secum:)

*νὴ τὸν Δία τὸν μέγιστον, ἀνόητόν τε καὶ*
*εὐκαταφρόνητον ἔργον εἴμ' εἰργασμένος.*
*οὐδὲν ἀδικῶν ἔδεισα καὶ τὸν δεσπότην*
*ἔφυγον. τί δ' ἦν τούτου πεποηκὼς ἄξιον;*
*καθ' ἓν γὰρ οὑτωσὶ σαφῶς σκεψώμεθα.*
*ὁ τρόφιμος ἐξήμαρτεν εἰς ἐλευθέραν*
*κόρην· ἀδικεῖ δήπουθεν οὐδὲν Παρμένων!*
*ἐκύησεν αὕτη· Παρμένων οὐκ αἴτιος.*

---

283. *πόλεως* Lef.] ...*εωσ* cod.
284. *Καρίαν* Lef.] *κ.ρι.ν* cod.
288. *μὴν ταπεινῶς* Croiset] *μη..απ..νωσ* cod.
289. **φέρειν θέλω*] supplevi, Croiset *πορευτέον*, vWil. *ποητέον*.
294. *μοί ποθεν* vWil.] cod. *μ*[, Lef. *μοι τότε*. Malim *Παρμένων*, si littera *μ* non plane sit certa.
295. *καιρὸν* Lef.] ...*ρον* cod.
300—306. Ultimas singulorum versuum litteras 1—6 supplevit Lef.
303. *αὕτη* vWil.] *αὐτή* Croiset.

τὸ παιδάριον εἰσῆλθεν εἰς τὴν οἰκίαν
τὴν ἡμετέραν· ἤνεγκ' ἐκεῖνος, οὐκ ἐγώ.
τῶν ἔνδον ὡμολόγηκε τοῦτό τις τότε.
τί δὲ Παρμένων ἐνταῦθα πεπόηκεν κακόν;
οὐδέν. τί οὖν ἔφυγες οὕτως, ἀβέλτερε;
ὅτι Δημέας, γέλοιον, ἠπείλησέ μοι!
. . . . . . . . . μαθη . . . διαφε . . . . . . . . .
ἀδίκως . . . . . . . . ταῦτ' ἢ δικαίως· ἔστι δὲ
. αντα . . . . . . . . οὐκ ἀστεῖον.

ΜΟΣΧΙΩΝ.

οὗτος!

ΠΑΡΜΕΝΩΝ.

χαῖρε, σύ.

ΜΟΣΧΙΩΝ.

ἄφες ἃ φλυρεῖς ταῦτα. θᾶττον εἴσιθι
εἴσω.

ΠΑΡΜΕΝΩΝ.

τί ποήσων;

ΜΟΣΧΙΩΝ.

χλαμύδα καὶ σπάθην τινὰ
ἔνεγκέ μοι.

ΠΑΡΜΕΝΩΝ.

σπάθην ἐγώ σοι;

ΜΟΣΧΙΩΝ.

καὶ ταχύ.

ΠΑΡΜΕΝΩΝ.

ἐπὶ τί;

ΜΟΣΧΙΩΝ.

βάδιζε καὶ σιωπῇ τοῦθ' ὅ σοι
εἴρηκα ποίει.

---

307. δὲ Παρμένων Lef.] . . . . . . ενων cod.
308. οὐδέν. τί οὖν Lef.] ουδε . . . . . ν cod.
309. *ὅτι Δημέας] . . . δ . . . . . ε cod., supplevi dubitanter.
317. ποίει] Lef. cum cod. πόει.

*ΠΑΡΜΕΝΩΝ.*

τί δὲ τὸ πρᾶγμ';

*ΜΟΣΧΙΩΝ.*

εἰ λήψομαι

ἵμαντα . . . . !

*ΠΑΡΜΕΝΩΝ.*

μηδαμῶς· βαδίζω γάρ.

*ΜΟΣΧΙΩΝ.*

τί οὖν

μέλλεις;

(Intus abit Parmenon.)

πρόσεισι νῦν ὁ πατήρ· δεήσεται
οὗτος καταμένειν μ' ἐνθαδί· δεήσεται
ἄλλως μέχρι τινός· δεῖ γάρ· εἶθ' ὅταν δοκῇ,
πεισθήσομ' αὐτῷ. πιθανὸν εἶναι δεῖ μ' ὅταν
ὅ, μὰ τὸν Διόνυσον, οὐ δύναμαι ποεῖν, λέγω
τοῦτ'. — ἔστιν· ἐψόφηκε προσιὼν τὴν θύραν.

(Prodit Demea.)

## SCENA TERTIA.

### Demea, Moschion.

*ΔΗΜΕΑΣ.*

(ad Moschionem aversatum:)

ὑστερίζειν μοι δοκεῖς σύ. παντελῶς ἀπαλλαγεὶς
πραγμάτων, εἰδὼς δ' ἀκριβῶς οὐδὲν οὐδ' ἀκηκοώς,
διὰ κενῆς σαυτὸν ταράττεις ἐξιών. τί δῆτ' ἔχεις;

---

317. εἰ] εἶ; vWil.; an *ἦ?
318. γάρ. — τί οὖν Croiset] γ.....υν cod.
319. δεήσεται Lef.] δεη.ε[ cod.
320. *μ' ἐνθαδί] μ......... cod.
321. *ἄλλως] ἀλλ' ὡς Lef. cum cod.
— *τινός·] τίνος; Lef.
322. *πεισθήσομ'] ...σθησομ' cod.
322 sq. Dubitanter versuum exitum explevi et distinxi; cod. 322 ειναιμ.....ον, 323 δυναμ.......εγω, Croiset δύναμαι ποεῖν ἐγώ, dein claudens enuntiatum (ego post τοῦτ').
324. προσιὼν τὴν θύραν Lef.] πρ[ cod.
325. *ἀπαλλαγεὶς] supplevi.
327. διὰ κενῆς Crusius] διακιν.. cod., διακινεῖς Lef. (invito metro). Cf. vs. 260 et fr. 580[1] Euphron. 1[31].
— *ἐξιών. τί δῆτ' ἔχεις;] dubitanter supplevi, cod. ε........'..οισ.

ΜΟΣΧΙΩΝ.

(simulans se patrem pro Parmenone habere:) νυνι

οὐ φέρεις; . . . . . . αρ σοι τοὺς γάμους . . . . σκ . . . ν

ΔΗΜΕΑΣ.

ουμια . γ . . . . . . αναπτεται θυμαθ' Ἡφαίστου . . .

ΜΟΣΧΙΩΝ.

οὗτος, οὐ φέρεις;

ΔΗΜΕΑΣ.

σὲ γὰρ δὴ περιμένουσ' οὗτοι πάλαι.

ΜΟΣΧΙΩΝ.

ἐμέ; τί ἐμέ; τὴν παῖδα!

ΔΗΜΕΑΣ.

μέλλεις; εὐτυχεῖς! οὐδὲν κακόν

ἔστ' ἔσω· θάρρει.

ΜΟΣΧΙΩΝ.

τί βούλει; νουθετήσεις μ', εἰπέ μοι,

ἱερόσυλε;

ΔΗΜΕΑΣ.

(filium insanire ratus:)

παῖ, τί ποιεῖς; Μοσχίων!

ΜΟΣΧΙΩΝ.

οὐκ εἰσδραμὼν

θᾶττον ἐξοίσεις ἅ φημι;

ΔΗΜΕΑΣ.

διακέκομμαι τὸ στόμα.

ΜΟΣΧΙΩΝ.

ἔτι λαλεῖς, οὗτος;

---

328—336. Moschionem fingere se patrem pro ministro habere sensit vWil., qui et quomodo distribuendi essent hi versus ostendit; aliter Lef.

330. δὴ] supplevit vWil.

331. *παῖδα] supplevi, cod. ...δα, vWil. χλαμύδα μέλλεις. ΔΗ.

333. παῖ] Moschioni dat vWil.

334. θᾶττον Croiset] ....ον cod.

335. ἔτι] supplevit Croiset.

— λαλεῖς vWil.] ..λεις cod., μέλλεις Croiset (metro invito).

ΔΗΜΕΑΣ.

*βαδίζω, νὴ Δί'· ἐξεύρηκα δὲ*
*μέγα κακόν.*

ΜΟΣΧΙΩΝ.

*μέλλεις;*

ΔΗΜΕΑΣ.

*ἄγουσι τοὺς γάμους ὄντως κακούς.*
(Abit.)

ΜΟΣΧΙΩΝ.

(abeuntem revocans:)

*μεῖνον· ἐξάγγελλέ μοί τι.*
(Secum:)
*νῦν πρόσεισιν. ἂν δέ μου*
*μὴ δέητ', ἄνδρες, καταμένειν, ἀλλ' ἀποργισθεὶς ἐᾷ*
*ἀπιέναι, — τουτὶ γὰρ ἄρτι παρέλιπον, — τί δεῖ ποεῖν;*
*ῥᾳδίως οὐκ ἂν ποήσαι τοῦτ'· ἐὰν δέ; πάντα γὰρ*
*δυνάτ'. ἐπεὶ γέλοιος ἔσομαι, νὴ Δί', ἀνακάμπτων πάλιν.*

---

Samiae fabulae — ut nomine non certo sed admodum probabili utamur — argumentum hoc est.

Amabat iuvenis Moschion virginem Plangonem in aedibus vicinis habitantem, sed matrimonii spes nulla erat; indotata enim erat illa atque ignobilis, ipse autem Demeae viri divitis filius adoptivus. Clam igitur cum ea convenit, gravida facta est puella, natus est puer. Rem parentes celavit puella: infantem

---

335. *δὲ* vWil.] *τε* cod.
336. *μέγα*] supplevit vWil., *τί τὸ* Croiset.
— **κακούς*] cod. *ι*[, *ὀντωσὶ γάρ* (?) Lef.
337. **μεῖνον*] ....*ον* cod., *βλέψον* Croiset.
338. **μὴ δέητ'*] cod. .....*τ'*.
339. **ἀπιέναι*] supplevi, dein verba *τουτὶ* — *παρέλιπον* in parenthesi collocavi.
340. **ῥᾳδίως*] cod. ......*σ*. An **ἀλλ' ἴσως*?
— **ποήσαι*] *ποῆσαι* Lef.
— **ἐὰν*] *ἐᾶν* Lef.
341. **δυνάτ'. ἐπεὶ*] cod. ....*τει*, sed *τ* non certa; quae si recte sit lecta, **γίγνετ'. εἰ* legatur, ut in versu sequenti continuata sit sententia.

recens natum tradidit Moschioni, qui in aedes Demeae eum attulit; sed verum huic confiteri cum nollet aut non auderet, a Chryside puella Samia, patris concubina, impetravit ut haec seni diceret se invenisse infantem et pro suo educare velle. Improbare primo Chrysidis hoc consilium Demea, mox feminae sibi dilectissimae precibus victus concedere ut apud se puerulus educaretur.

Mutato dein consilio — cur aut quomodo nescimus — Demea auctor fuit Moschioni ut Nicerati vicini filiam Plangonem uxorem duceret. Impense hic laetari: properare nuptias. Dapes quamprimum sunt paratae, coquus conductus, laeti tumultus in Demeae aedibus plena erant omnia. Tum Demea forte fortuna duas ex ancillis suis audivit inter se colloquentes, ex quarum verbis intellexit ipsius Moschionis esse infantem, quem educabat Chrysis; se unum id esse celatum. Cur vero? Ipsius Chrysidis esse filiolum suspicari coepit, mox in certam persuasionem vertit suspicio. Sic scilicet propudio se fuisse filio et concubinae! Hanc unam sontem habet: iuvenem integerrimum nisi malis artibus a muliercula lasciva pellectum ita peccare in se nunquam potuisse! Moschionis igitur causa turpe facinus celat, non ostendit se perspexisse fraudem, sed causa interserta Chrysidem cum infante ex aedibus pellit. Recipitur haec a Nicerato. At mox hic discit — nescimus quomodo, nam haec pars fabulae intercidit — suam ipsius filiam illum infantem peperisse; e Moschione conceptum nescit. Vivum comburere vult dedecoris pignus illud, furit in filiam, in uxorem, Chrysidem persequitur, occurrit Demeae. Qui impense gavisus quod Chrysidem Moschionemve nihil erga se deliquisse apparuit, operam dat ut Niceratum ira abreptum ad saniora consilia reducat; nuptias Moschionem cum Plangone initurum tamen asseverat. Hic finem habet fragmentum secundum.

Sequitur minus amplum; unde discimus Moschionem, postquam composita sunt omnia, primo quidem magnopere esse laetatum, sed mox indignari coepisse. Talia scilicet patrem de se suspicari potuisse aliquantisper! Senem ulcisci secum

decernit: dicet taedere iam nuptiarum, in longinquas regiones se abiturum, ubi militet; nolle etiam commorari inter suos, quibus tam scelestus impurusque homo sit visus. Patrem tum precibus se aditurum scit, exorari tandem se passurus est, nec facile dein senex tam inique de se iudicabit iterum.

Hic deficit fragmentum alterum. Finem fecisse nuptias Moschionis cum Plangone per se intellegitur. Chrysidem autem, optimae indolis puellam Samiam, ingenuo loco natam fuisse et, cum a suo patre agnita esset, iusto matrimonio iunctam esse Demeae, suspicari licet fortasse, demonstrare non possumus.

---

Praeter fragmenta Herois, Disceptantium, Circumtonsae, Samiae fabularum quae nuper reperta sunt, extant sequentia, quae pridem innotuerunt et inter fragmenta poetarum comicorum sunt recepta:

## I.

## EX HEROE.

1.

*δέσποιν', Ἔρωτος οὐδὲν ἰσχύει πλέον,*
*οὐδ' αὐτὸς ὁ κρατῶν τῶν ἐν οὐρανῷ θεῶν*
*Ζεύς, ἀλλ' ἐκείνῳ πάντ' ἀναγκασθεὶς ποεῖ.*

Men. fr. 209 Kock (e Stob. Flor. 63, 21).

Videntur Davi esse verba ad Myrrhinam heram iratam propter Plangonem ab ipso, ut ait, vitiatam. Ceterum tertius versus corruptus est.

2.

*ἐχρῆν γὰρ εἶναι τὸ καλὸν εὐγενέστατον,*
*τοὐλεύθερον δὲ πανταχοῦ φρονεῖν μέγα.*

Men. fr. 210 Kock (e Stob. Flor. 89, 7).

3.

*ὡς οἰκτρόν, ἣ τοιαῦτα δυστυχῶ μόνη,*
*ἃ μηδὲ πιθανὰς τὰς ὑπερβολὰς ἔχει.*

Men. fr. 211 Kock (e Stob. Flor. 104, 13).

Plangonis haec verba esse patet.

4.

χοῦς κεκραμένου
οἴνου· λαβὼν ἔκπιϑι τοῦτον.

Men. fr. 212 Kock (ex Athen. 426 c).

5.

ἐπεφαρμάκευσο, γλυκύτατ', ἀναλυϑεὶς μόλις.

Men. fr. 213 Kock (e Phot. ed. Reitz. et Suid. s. v. ἀναλυϑῆναι).

6.

εὖ ἴσϑι, καὶ ἐγὼ τοῦτο συγχωρήσομαι.

Men. fr. 214 Kock (ex Ammonio 76).

7.

παιδισκῶν τινι
δούς.

Men. fr. 215 Kock (e Bekk. Anecd. 1262).

8.

ὦ δυστυχής, εἰ μὴ βαδιεῖ.

Men. fr. 216 Kock (e Choerob. 163 Gaisf.).

9.

νυνὶ δὲ τοῖς ἐξ ἄστεως
κυνηγέταις ἥκουσι περιηγήσομαι
τὰς ἀχράδας.

Lex. Sabbait. p. 4. — Recte diremit versus vWilamowitz.

10.

τὸν Θίμβιν ὁ Μένανδρος Τίβειον ὀνομάζει.

Men. fr. 1075 Kock (ex Append. proverb. 3, 79).

Scripsi *Τίβειον* pro *Τίβιον*. Cf. fabulae vs. 21, 28.

# II.

# E DISCEPTANTIBUS.

1.

*ἀργὸς δ' ὑγιαίνων τοῦ πυρέττοντος πολὺ*
*ἀθλιώτερος, διπλάσιά γ' ἐσθίων μάτην.*

Men. fr. 175 Kock (e Stob. Flor. 30, 7).

Scripsi *γ' ἐσθίων* pro *γοῦν ἐσθίει*, alii aliter.

2.

*ἐλευθέρῳ τὸ καταγελᾶσθαι μὲν πολὺ*
*αἴσχιστόν ἐστι· τὸ δ' ὀδυνᾶσθ' ἀνθρώπινον.*

Men. fr. 176 Kock (e Stob. Flor. 89, 5).

3.

*οὐκ οἰμώξεται*
*καταφθαρείς; ἐν ματρυλείῳ τὸν βίον —*

Men. fr. 177 Kock (ex Harpocr. et Suid. s. v. *ματρυλεῖον*).

Aut post *καταφθαρείς* distinguendum est, ut feci, aut vitiosa haec sunt.

Cf. fr. adesp. 220: *εἰς ματρυλεῖα καὶ κοπίδας καὶ φάρμακα* (Plut. Mor. 752 *c*).

4.

*ἐπέπασα*
*ἐπὶ τὸ τάριχος ἅλας, ἐὰν οὕτω τύχῃ.*

Men. fr. 178 Kock (ex Athen. 119 *e*).

Coqui iocosi, quem in hac fabula aliquas partes egisse docet Athenaeus 659 *b*, haec verba fuisse videntur.

5.

*οὐδὲν πέπονθας δεινὸν ἂν μὴ προσποῇ.*

Men. fr. 179 Kock (ex Orion. Anth. 7, 8).

6.

*ἐξετύφην μὲν οὖν*
*κλάουσα.*

Men. fr. 184 Kock (e schol. Eur. Phoen. 1154).

Sophrones nutricis haec esse probabiliter coniecit Lefeburius. Cf. fr. 505 (e Philadelphis): *νὴ τὸν Δία τὸν μέγιστον, ἐκτυφήσομαι.*

7.

*ἐχῖνος* (*vas*).

Men. fr. 185 Kock (ex Erotiano).

8.

*τί δ' οὐ ποεῖς*
*ἄριστον; ὃ δ' ἀλύει πάλαι κατακείμενος.*

Phot. Lex. ed. Reitzenstein s. v. *ἄλυς.*

Onesimi ad coquum haec verba videntur.

Verbum *ἀλύειν* *nihil agendi* sensu h. l. usurpatum testatur Photius. Cf. fabulae vs. 342.

9.

*οὐχ ὁ τρόφιμός σου, πρὸς θεῶν, Ὀνήσιμε,*
*ὁ νῦν ἔχων <τὴν> Ἀβρότονον, τὴν ψάλτριαν,*
*ἔγημ' ἔναγχος; — ΟΝΗΣ. πάνυ μὲν οὖν.*

Men. fr. 600 Kock (e schol. Aristid. 93).

Ad Disceptantes referendum esse hoc fragmentum testantur nomina propria.

10.

Fortasse ad hanc fabulam referendum est fragmentum quod sequitur:

*χαλεπόν, Παμφίλη,*
*ἐλευθέρᾳ γυναικὶ πρὸς πόρνην μάχη.*
*πλείονα κακουργεῖ, πλείον' οἶδ', αἰσχύνεται*
*οὐδέν, κολακεύει μᾶλλον.*

Men. fr. 566 Kock.

11.

Dubito an eodem referam verba:

*φιλῶ σ' Ὀνήσιμε· καὶ σὺ περίεργός <τις> εἶ.*

Men. fr. 849 (e Cram. Anecd. Paris. IV 418).

Cf. fabulae vs. 45, 358.

12.

Nec non suspicor Hesychii verba: *τρόφιμον* (*herilem filium*) *<Μέν>ανδρος Δακτυλίῳ* (sic Iernstedt, cf. Nauck Mél. Gr. R. VI p. 109) ad nostram fabulam spectare (cf. vs. 160). Sed quoniam ex Anulo fabula etiam alii versus afferuntur quidam apud veteres, qui in novis his fragmentis non inveniuntur, temerarium fuerit contendere duo unius fabulae fuisse nomina *Ἐπιτρέποντας* et *Δακτύλιον*.

13.

Alienum ab hac fabula videtur fragmentum admodum lacunosum, a Iernstedtio anno 1891 editum in observationibus palaeographicis et philologicis ad fragmenta comicorum Atticorum Russice scriptis p. 204 sq.; in quo fragmento occurrit nomen *Charisii*. Legitur illud fragmentum in eodem folio atque Menandreum quod primus edidit Cobet in Mnemos. 1876, nunc fr. adesp. 105 Kock, et ex eadem fabula excerptum esse videtur Iernstedtio.

14.

Hanc fabulam et alii respexerunt inter veteres scriptores, quos indicavit Kock, et Choricius Apol. Mim., cuius verba ad *Ὑποβολιμαῖον* attulit Kock (Men. fr. 494).

# III.

## E CIRCUMTONSA.

1.

*οὕτω ποθεινόν ἐστιν ὁμότροπος φίλος.*
Men. fr. 391 Kock (e Stob. Ecl. 2, 33, 6).

2.

*ὅμως δ' ἀπόδειξον ταῦτα τῇ γυναικί.*
Men. fr. 392 Kock (e Bekk. Anecd. 427).

3.

Fortasse ex hac fabula desumti sunt versus:

*Γλυκέρα, τί κλάεις; ὀμνύω σοι τὸν Δία*
*τὸν Ὀλύμπιον καὶ τὴν Ἀθηνᾶν, φιλτάτη,*
*ὀμωμοκὼς καὶ πρότερον ἤδη πολλάκις.*
Men. fr. 569 Kock (e Priscian. 18, 247).

---

# IV.

## E SAMIA.

*φέρε τὸν λιβανωτόν· σὺ δ' ἐπίθες. τὸ πῦρ, τρυφᾶν.*
Men. fr. 437 Kock (e Phrynich. Ecl. 187).

Ultimum verbum videtur in nomen proprium mutandum: *Τρύφη* Scaliger, *Τρύφων* Iunius.

# CORRIGENDA.

---

Pag. 5 lin. 16 *tutore* leg. *villico.*

Discept. 148 sq. Pro *ἀποδῶ* leg. **ἀποδῷ* et aliter haec dividantur. Nam verba *βραχὺ* — *ἀποδῷ* sunt *Syrisci* ad Smicrinem, sequentia *τί* — *τούτῳ* Davi.

Circumt. 213 leg. **οὕτω μοι γένοιθ' ἃ βούλομαι* coll. Discept. 145, 472.

Circumt. 227 leg. *τίς ἐσθ' ὁ *δηλώσων;* — *τίς; αὕτη!*

Circumt. 240 Polemonis verba legantur **ἐπάνεισι δέ;*